τούτων· ἐπὶ δὲ τῶν σφαιρικῶν οὐδαμῶς, ἀλλ' ἀεὶ συμ-
πιπτουσῶν τῶν δύο σχέσεων· γνώριμον τὸ ἀνάπαλιν,
ἀπὸ τῆς ἐπιφανείας ἐπὶ τὸ αὐτῶν μέσον τοῖς σφαι-
ρικοῖς τῶν ὄγκων. καὶ οὕτω κάτω αὐτῷ ἔχειν τῶν,
εἰς ἀνάγκας· ταῦτ' οὖν ὁ κόσμος συμβαίνει
σφαιροειδῆ κατὰ τὸ σχῆμα ὄντι· καὶ τὸ αὐτὸ γίνεται κ.



ἐπὶ μέσον αὐτῶν, εἴ γε τὸ τοιοῦτον σχῆμα τῶν ζῳδίων συμ-
πίπτουσιν αὐτοῖς. τοῦτο δὲ προϊόντος μὲν τοῦ λόγου ἀπο-
δειχθήσεται, ἐν τῷ περὶ τῆς ἐπὶ τὸ μέσον φορᾶς λόγῳ.
νῦν δὲ ἀπὸ τῶν ἐν τοῖς κατὰ τὴν αἴσθησιν φανταζο-
μένων ἡμῖν ἁπλούστερον δείξομεν. πάντες τοίνυν ἐν
σφαιροειδεῖ ὁρῶμεν ἐν τῷ ἀέρι κλίματι τῶν μερῶν, ὑπο-
κείμενον τῆς κορυφῆς ἡμῶν τὸν οὐρανόν. τὰ δὲ ἐκ πλαγίου
αὐτοῦ πάντα, ἡμῖν ἀποκεκλιμένα φαντάζεται. ἐπεὶ
περιιόντες ἐφ᾽ ὁποιαδήποτε οὖν τῶν κλιμάτων τῆς γῆς,
τὰ πρὸς ἡμᾶς ἀποκλίσει φανταζόμενα, κατὰ κορυφὴν ἡμῖν
γίνεται. ὅπερ οὐκ ἂν τοῦτο συνέβαινεν, εἰ μὴ ἀπὸ
παντὸς μέρους ὑπέκειτο τῆς γῆς ὁ οὐρανός. καὶ αὐτὸ τὸ
μεσαίτατον τοῦ κόσμου κάτω ἡμῖν, τὸ δὲ ἀπὸ τούτου ἐ-
πὶ τὸν οὐρανὸν δῆκον, ἄνω. καὶ ὅταν πελάγους πλέω-
μεν, ὅλου οὐχ ὁρᾶται ἡ γῆ, κύκλῳ κατὰ τὸν ὁρίζοντα
φαντάζεται ἡμῖν ὁ οὐρανὸς ψαύων τοῦ ὕδατος. ἐπ-
ὰν δὲ πέραν γενώμεθα εἰς τὸν τόπον τοῦτον, ἔνθα ψαύειν
θαλάττης ὁ οὐρανὸς ἡμῖν φαντάζεται, πάλιν ὑπερκείμενος
ὁρᾶται. καὶ προσιόντας γε καὶ ἐς τοὺς κατὰ τὸν πλοῦν τόπους
τοῦτο συμβαίνει. ὡς τι καὶ ἐφ᾽ οὗ περιέχει κύκλῳ πανταχόθεν
ὡς εἰ πλεύσαι, ἢ ἄλλως περιελθεῖν τὴν γῆν μηχανοῖμεθα αὐ-
τῆς ὅλης κύκλῳ ὄντες, κατελάβομεν ἂν σφαιροειδῶς ὅτι παντοί-
ου μέρους αὐτῆς ὑπέρκειται ὁ οὐρανός. καὶ οὕτως τὸ μεσαίτατον
τοῦ κόσμου ἡ γῆ ἐστι καὶ μέσον κέντρον καὶ κάτω. ἀλλὰ τοῦτο
μὲν ἡ διδασκαλία τῆς ἐπὶ τὸ μέσον φορᾶς τῶν βαρέων
σωμάτων μᾶλλον παραστήσει. γράφονται δὲ ἐν τῷ
οὐρανῷ κύκλοι παράλληλοι πέντε. ὧν μὲν ὁ εἷς δύο ἴσα
τέμνων τὸν οὐρανὸν ἰσημερινὸς καλεῖται, ὁ σημαίνων. τούτου δὲ
ἑκατέρωθεν δύο αὐτοῦ μείζονες, ἴσοι δὲ ἀλλήλοις, κα-
λοῦνται δέ, τροπικοί, ἐπειδὴ ἀφορίζουσι τὰς τοῦ ἡλίου
σημειώσεις, γράφομεν αὐτούς. καθ᾽ ἑκάτερον δὲ τούτων
πάλιν ἕτεροι γράφονται δύο. ὧν ὁ μὲν βόρειος, κα-

λεῖται ἀρκτικός· ὁ δὲ ἐναντίος αὐτῷ, ἀνταρκτικός.
οὗτοι δὲ κατὰ τὰς τῶν κλιμάτων διαφοράς, ἄλλοι παρ'
ἄλλοις εἰσί· μείζους καὶ ἐλάττους γινόμενοι. καὶ τελ
ἀφανιζόμενοι· καὶ δεῖ ἔνθα μὲν ἀφανίζονται, τ
μὲν, ἀόρατον αὐτῶν εἶναι· τὸν δ' ἀεὶ φανῆ. τούτοις τοῖν
τοῖς διαστήμασι τοῦ οὐρανοῦ, ἃ τοῖς προειρημένοις
δὴ ἴσα τοῖς κύκλοις, ὑπόκειται μέρη τῆς γῆς πέντε· ἓν
μὲν τὸ περιεχόμενον ὑπὸ τοῦ ἀρκτικοῦ· ἕτερον δὲ τὸ
ὑποκείμενον τῷ διαστήματι τῷ μεταξὺ ἀρκτικοῦ
καὶ θερινοῦ τροπικοῦ· τρίτον τὸ μεταξὺ τῶν δύο τροπικῶν·
ὃ κατ' αὐτὸ τὸ μέσον ἐστὶ τὸν ὑποκείμενον ἔχει τὸν ἰ
σημερινόν· τέταρτον τὸ μέσον χειμερινοῦ τροπικοῦ τε
ἀνταρκτικοῦ· πέμπτον τὸ περιεχόμενον ὑπὸ τοῦ ἀν
ταρκτικοῦ. ταύτας τοίνυν τὰς μοίρας τῆς γῆς, οἱ φυσι
κοὶ ζώνας καλοῦσι· καὶ τὰς κατὰ τὸ μὲν τῶν ἄκρων,
ἀοικήτους ὑπὸ κρύους εἶναι φασί· τὴν δὲ μεσαιτάτην
ὑπὸ φλογμοῦ· τὰς δὲ ταύτης ἑκατέρωθεν εὐκρά
τους εἶναι· ἐπειδὴ κέκραται αὐτῶν ἑκάτερα, ὑπό τε τ
διακεκαυμένης καὶ τῆς ἑκατέρᾳ αὐτῶν προσ
κειμένης κατεψυγμένης. τῶν λοιπῶν οὖν τῶν ζωνῶν τὰς εὐ
κράτων, ἑκατέρας εἰς δύο διαιροῦντες, κατὰ τὸ
τε ὑπὲρ γῆς καὶ ὑπὸ γῆν ἡμισφαίριον, τέσσαρας
οἰκουμένας εἶναι φασίν. ἐν μιᾷ μὲν ἔχειν ἡμᾶς
τοὺς ἱστοροῦντας· ἄλλους ὁμοίως· οὓς δὲ τοὺς καλουμένους περι
οίκους. οἳ ἐν τῇ αὐτῇ εὐκράτῳ ὑπάρχοντες, ἡμῖν τὸ
ὑπὸ γῆς οἰκοῦσι κλίμα· τρίτην δὲ τοὺς ἀν
τοίκους. τετάρτην δὲ τοὺς ἀντίποδας ἡμῶν· οἱ τὴν
ἔχουσι μὲν τὴν ἀντεύκρατον. εἰσὶ δὲ αὐτῶν οἱ μὲν
τὸ ὑπὸ γῆν ἔχοντες κλίμα, ἀντοικήσαντες· οὓς καὶ
ἀντωμοίως καλοῦσιν· οἱ δὲ τὸ ὑπὸ γῆν, ἀντίποδες· πάν
των ἐπὶ γῆς βεβηκότων ἐπὶ τὸ κέντρον καὶ αὐτὸ τὸ μέσον
τῆς γῆς· τὰ ἴχνη βλέπειν ἀντάλληλον· καὶ γὰρ αὐτῆς σφαιρικ



[illegible]

τῷ σχήματι κεχρημένης, κάτω τὸ μέσαι ἐστί· ὅθεν
οὐχ οἱ περίοικοι ἡμῶν, ἀντίποδες γίνονται· ἄλλοι δὲ
τὴν ἀντεύκρατον τὸ ὑπὸ μὲν ἔχοντες κλίμα, οἱ κατὰ διά-
μετρον κείμενοι ἡμῶν· τὰ μὲν γὰρ τούτων ὕψη ἔχουσιν, ἀντὶ τῶν ἡμετέρων
ἡμετέροις χρώμενοι· τὰ δὲ τῶν ἡμετέρων περιοίκων, οὐ
πρὸς τὰ ἡμέτερα ἔχουσιν ὥρας· ἀλλὰ πρὸς τὰ τῶν ἀντοίκ-
ων· ὥστε πάλιν οὗτοι ἀλλήλων ἀντίποδες γίνονται· οἱ δὲ ἡμέ-
τεροι ἀντίποδες ἄντοικοι γίνονται τῶν περιοίκων ἡμῶν.
ὡς τοιούτων σχέσεων ὁμοίων γινομένων ταῖς τῶν φί-
λων καὶ ἀδελφῶν, ἀλλ' οὐ ταῖς τοῦ πατρὸς καὶ παιδός· οὐδὲ τῆς
τῶν δούλων καὶ δεσποτῶν· ἀντιστρέφουσι γὰρ ἐκεῖναι.
καὶ γὰρ τῶν ἡμετέρων περιοίκων, καὶ ἡμεῖς περίοικοι γινόμεθα·
καὶ τῶν ἀντιπόδων ἀντίποδες· καὶ ὁμοίως ἄντοικοι τῶν
ἀντοίκων. ὅσα δὲ ἡμῖν καὶ κοινά τινα πρὸς ἑκάστους αὐτ-
ῶν καὶ ἐξαίρετα· πρὸς μὲν οὖν τοὺς περιοίκους κοιν-
ὸν ἡμῖν ἐστὶ πρῶτον μὲν τὸ τὴν αὐτὴν οἰκεῖν εὔκρατον· εἶτα
τὸ κατὰ ταὐτὸν ἔχειν χειμῶνα καὶ θέρος· καὶ τὰς ἄλλας
ὥρας, καὶ αὐξήσεις καὶ μειώσεις τῶν ἡμερῶν τε καὶ νυ-
κτῶν· διαφέρουσι δὲ κατὰ τὰς ἡμέρας καὶ τὰς νύκτας·
παρ' ἡμῖν γὰρ ἡμέρας οὔσης, παρ' ἐκείνοις νὺξ τυγχάνει·
εἶτα πάλιν ἀντίστροφον τούτου λαμβάνει· οὐ γὰρ ἄλλως ἐστίν,
ὁπόταν καταδύνῃ παρ' ἡμῖν ὁ ἥλιος, ἀρχὴν λαμβάνει
τοῦ παρ' ἐκείνοις ἀνίσχειν· ὁμοίως αἱ μακρόταται
παρ' ἡμῖν τῆς ἡμέρας, ἡ νὺξ παρ' ἐκείνοις μακροτάτη γίνε-
ται· καὶ τὰ ἄλλα ἡμῖν τὰ τῶν ὡρῶν, ἐκ καταλλήλου αὐ-
ξήσεις καὶ μειώσεις τῶν ἡμερῶν τε καὶ τῶν νυκτῶν
γίνονται· σφαιρικῆς οὔσης τῆς γῆς περιιὼν κύκλῳ
ὁ ἥλιος, οἷς ἂν ἀποστῇ, ἐπιβάλλει τὰς ἀκτῖνας ὑπερτιθέμενος
κατὰ τὴν πορείαν τὰ κυρτώματα τῆς γῆς· ταῦτα λαμπρύ-
νει καὶ φωτίζει· ὅθεν τοῖς παρ' ἡμῖν ὑπὸ γῆν ὁρώμενος,
ἐκείνοις ἀνίσχειν φαίνεται· ἀναγκαίως σφαιρι-
κὴν τῷ σχήματι ὑπάρχουσαν περὶ ἀρχὴν τὴν γῆν.

Marginal note (left): + [illegible]

τὸν οἰκεῖον κύκλον. κατὰ
ἐν τοῖς ἰδίοις αὐτῷ περιερχόμενος
ταύτην μὲν τὴν κίνησιν ποιῶν, τὰς ὥρας ἀποτελεῖ. κατὰ
δὲ τὴν σὺν τῷ κόσμῳ, τὰς ἡμέρας ἀποτελεῖ. ὑπὸ τοῦτον
ὁ τῆς Ἀφροδίτης ἐστί. καὶ αὐτὸς ἐνιαυσιαίαν τὴν
περίοδον ἔχων. καλεῖται δὲ ὁπότε μὲν ἐπικα-
ταδύνει τῷ ἡλίῳ, ἕσπερος· ὁπόταν δὲ προανέ-
χῃ αὐτοῦ, ἑωσφόρος. τινὲς δὲ τὸν αὐτὸν τοῦτον τὸν
καὶ φωσφόρον καλεῖν εἰώθασιν. ὑπὸ δὲ τὴν
Ἀφροδίτην ἐστὶν ὁ τοῦ Ἑρμοῦ, στίλβων καλούμενος.
καὶ τοῦτον ἐν ἴσῳ αὐτῷ χρόνῳ περιιέναι τὸν ἴδιον κύκλον
φασίν. ὑπὸ δὲ τοῦτον ἐστὶν ἡ σελήνη, προσγειο-
τάτη πάντων τῶν ἄστρων ὑπάρχουσα. κατὰ τὰ
σεως ἀφ' ἧς ὑπὲρ τοῦ ἀέρος, πρὸς τὸν αἰθέρα ἀνακλᾶται·
ὅθεν καὶ ζοφῶδες αὐτῆς τὸ οἰκεῖον ὁρᾶται σῶ-
μα· τὸ δὲ λαμπρὸν ὁρώμενον αὐτῆς, ὑπὸ τοῦ ἡλίου
ἔχει τὴν λαμπηδόνα· διὰ τοῦ πρὸς αὐτὸν τεταμ-
μένου αὐτῆς ἡμισφαιρίου καταλαμπομένου.
αὐτὴ τὸν ἴδιον ἀποτελεῖ κύκλον, ἐν ἑπτὰ καὶ εἴκο-
σιν ἡμέραις καὶ ἡμίσει· σύνοδον δὲ τῷ ἡλίῳ
διὰ τριάκοντα. οὗτοι δὲ πάντες τὴν ἐναντίαν τῷ
ὁμῶς κινούμενοι, καὶ ἄλλοτε ἐν ἄλλοις ὁρώμενοι, ὅτε
ἄτακτον τὴν ποιοῦνται πορείαν, οὔτε δὲ ἐν τῷ
τοῦ κόσμου μορφῶν ἴασιν· ἀλλὰ διὰ τοῦ καλου-
μένου ζῳδιακοῦ κινοῦνται, μὴ ὑπερβαίνον-
τες αὐτόν. ἔστι δὲ ὁ ζῳδιακὸς κύκλος, λοξὸς διὰ
τε τῶν τροπικῶν καὶ τοῦ ἰσημερινοῦ βεβλημένος· καὶ
τοῦ τε θερινοῦ τροπικοῦ καὶ τοῦ χειμερινοῦ ἐφαπτόμενος,
ἑκατέρου μὲν τροπικοῦ καθ' ἓν σημεῖον· τὸν
δὲ ἰσημερινὸν εἰς δύο ἴσα τέμνων. τὸ
μεῖον. τὸν δὲ ἰσημερινὸν εἰς δύο ἴσα, ἀξιόλογον ἔχοντος· ταῖς
δὲ τοῦ ζῳδιακοῦ πλάτος ἀξιόλογον ἔχοντος, τὰ μὲν διὸ πρὸς
βόρεια ἐστί, τὰ δὲ νότια. τὰ δὲ τοῦ μέσου ἡλίου
καὶ τέσσαρες γράφονται κύκλοι· ὁ μὲν ἀρκτικός
ἀκοῖς καλεῖται. οἱ δὲ ἑκατέρωθεν, ὁ μὲν βόρειος

τὸ δὲ τοῦ ζῳδιακοῦ κύκλου

πλάτος δὲ ἥλιος μὲν τοῦ ζῳδιακοῦ ... καὶ ...

ὁ δὲ νότιος. διὰ τούτων δὴ τῶν ζῳδιακῶν οἱ μὲν ἄλλοι πλα-
νῆτες, κατὰ τὴν προαιρετικὴν κίνησιν, ἄλλοτε μὲν
τῷ βορείῳ, ἄλλοτε δὲ τῷ νοτίῳ πλησιάζουσι· μόνος
δὲ ὁ ἥλιος διὰ μόνου τοῦ μέσου κινεῖται· οὔτε τῷ βο-
ρείῳ οὔτε τῷ νοτίῳ πλησιάζων. τοῦ μὲν γὰρ κόσμου
αὐτοῦ καὶ τοῖς βορείοις καὶ τοῖς νοτίοις προσάρχεται μέ-
ρεσιν· ἀπὸ [illegible] τοποθεσίαν· αὐτοῦ δὲ τοῦ ζῳ-
διακοῦ, οὐ δὴ ὅροις· ἀλλὰ τὸν μεσαίτατον αὐτοῦ
τὸν μέγιστον κύκλον κατὰ τὴν πορείαν. ὅθεν καὶ ἡλια-
κὸς οὗτος κέκληται. οἱ δὲ λοιποὶ πλανῆτες, καὶ τῶν κό-
σμου προσάρχονται τοῖς βορείοις τε καὶ νοτίοις μέρεσι
αὐτοῦ τοῦ ζῳδιακοῦ ἑλικοειδῶς ἐν αὐτῷ κινούμενοι· κα-
τιόντες γὰρ ἀπὸ τοῦ βορείου ἐπὶ τὸ νότιον· καὶ αὖθις δὲ πάλιν
ἐπὶ τὸ βόρειον ἀναφέροντες· οὐκ ἀεὶ ἀνοδοῦσι δι' ἁπλῶν κα-
θάπερ ὁ ἥλιος, ἀλλὰ ἑλικοειδῆ τὴν δι' αὐτῶν ποιοῦν-
ται κίνησιν. καὶ ὁπότε μὲν ἀπὸ τοῦ βορείου ὡς ἐπὶ τὸν
διάμετρον φέροιντο, λέγονται ὑψοταπεινοῦσθαι·
ὁπότε δὲ τὸν διὰ μέσου διελθόντες τῷ νοτίῳ προσχω-
ροῖεν, λέγονται ταπεινοῦσθαι ταπεινοῦσθαι· ἀναφέρον-
τες δὲ πάλιν ἐντεῦθεν ἐπὶ τὸν διάμετρον ταπεινομένως ὑψ-
οῦσθαι λέγονται. ἐπειδὰν δὲ ἀμείψαντες τὸν διάμετρον τῷ
βορείῳ προσπλησιάζωσιν, ὑψοῦσθαι. συμβέβηκε
γὰρ τὰ μὲν βόρεια τοῦ ζῳδιακοῦ, ἐπὶ πολὺ τῶν ὁριζόντων
ἐξῆρθαι· τὰ δὲ νότια μᾶλλον τῷ ὁρίζοντι πελάζειν
διὰ τὸ ἐγκεκλίσθαι ἀπὸ τῶν βορείων ἐπὶ τὰ νότια τὸν
κόσμον, ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ. οὕτω δὲ κι-
νουμένων ἐν τῷ ζῳδιακῷ τῶν πλανητῶν, ὁ ἥλιος τὸ
μεταξὺ τῶν τόπων κατὰ πλάτος κινούμενος, μέσος ὢν τῶν
σωμάτων, ἀναγκαίως διακατέχει τὸ ὑποκείμενον πλάτος
γῆς τῶν προειρημένων τόπων διὰ τὸ μέσον· ἐπεὶ
πάλιν οὔτε ἀπὸ τῶν νοτίων ὡς ἐπὶ τὰ βόρεια ἰσημερινὸν
βόρειον τόπον ὑπερβαίνει, οὔτε ἀπὸ τῶν

ἀστέρες οἱ κινούμενοι τοῖς μὲν [illegible] ἀεὶ τὸ βόρειον ἀεὶ τὸ νότιον [illegible] οὔτε μὲν [illegible] οὐ [illegible] δὲ [illegible] [illegible] νότιον καὶ τῷ [illegible] ζομένου τὸ [illegible] βόρειον [illegible]

ἐπὶ τὰ νότια τὸν χειμερινὸν τροπικόν, οὕτως συμβέβη-
κε τὰς ὑπὸ ταῖς ἀρκτικαῖς ζώνας κατεψῦχθαι, ὡς πο-
ρρωτάτω τοῦ ἡλίου ἀφεστώσας· τὰς δὲ ἐντὸς μεταξὺ
τροπικῶν τε καὶ ἀρκτικῶν ὑποκειμένας πόλεις,
εὐκρατοῦσθαι· καὶ αὕτη μὲν ἡ αἰτία τοῦ τὰ μὲν
κατεψῦχθαι· τὰ δὲ διακεκαῦσθαι· τὰ δὲ εὔκρατα
τῆς γῆς εἶναι· τοῦ δὲ ἐνηλλάχθαι τὰ κατὰ τὰς ὥρας
ἐν ταῖς ἀκράτοις καὶ κατὰ τὰς αὐξήσεις καὶ μει-
ώσεις τῶν ἡμερῶν· τοιαύτη δέ τις αἰτία ἐστί· τῆς γῆς
σφαιρικῷ τῷ σχήματι κεχρημένης, κ᾽ ἀπὸ πόλων
τὸ μέσον τοῦ ὁμαλοῦ κάτω ὑπαρχούσης, συμβέβη-
κε τὰ κλίματα αὐτῆς, μὴ ἔχειν τὴν αὐτὴν σχέσιν πρὸς
τὸν ζῳδιακόν· ἀλλὰ τοῖς ἄλλοις μέρεσι τοῦ ὁμαλοῦ ὑπο-
κεῖσθαι· ὅθεν καὶ διάφορα ταῖς κράσεσιν ἐστὶν ὡς
ἤδη δέδεικται· ἐν μὲν οὖν τῇ διακεκαυμένῃ, αὐτὰ
τὸ μεσαίτατον τῆς γῆς ὑπαρχούσης, οὔτε ἐπὶ τὰ βόρεια
οὔτε ἐπὶ τὰ νότια ἐγκέκλιται ὁ κόσμος· ἀλλ᾽ ὅσοι ταύ-
την τὴν θέσιν ἔχουσι κατὰ τῶν πόλων ἐπὶ τοῦ ὁρίζον-
τος, θεωροῦμεν καὶ ἀρκτικῶν κύκλων ἐν τούτ-
οις κλίμασιν οὐχ ὑπαρχόντων, ἀλλὰ πάντων κ(αὶ)
καταδυομένων καὶ πάλιν ἀνασχόντων, μηθὲν εἶναι
ἁπλῶς ἀειφανὲς ἐνταῦθα εἶναι δύναται· ἀπὸ τ(ῆς)
τοῦ κλίματος τούτου, ὡς ὅτι ἐπὶ τὰς ἀκράτους ἰόντ(ων),
ἀλλοιοτέρα φαντάζεται ἡ τοῦ κόσμου θέσις· τοῦ μὲν
ἀποκρυπτομένου τῶν πόλων, τοῦ δ᾽ ἐξαιρομένου
ὑψουμένου ἀπὸ τοῦ ὁρίζοντος· εἰ μὲν οὖν τις ἐκεῖθ(εν)
ὡς ὅτι ἐπὶ τὴν ἄρκτον ἄνδρα τινὰ ἴοι, ὁ μὲν νότιος
ἀπ᾽ αὐτῶν πόλος ἀφανὴς γίνοιτο, ἐπιπροσθουμένης
τὴν πορείαν ὑπὸ τοῦ ποσοῦ τῆς γῆς κυρτώματος· ὁ δὲ
βόρειος εἰς ὕψος ἀπὸ τοῦ ὁρίζοντος ἐξαίροιτο· εἰ δὲ
ὅτι ἐπὶ τὴν ἀντάρκτον ἀπὸ τῆς διακεκαυμένης
ὑποθείμεθα τινὰ πορευόμενον, τοὐναντίον ἂν



νοῖτο, ὑψουμένου μὲν ἀπὸ τῶν ὁριζόντων τοῦ νοτίου πόλου,
ἀφανοῦς δὲ τοῦ βορείου γινομένου. ὑποκείσθωσαν τοίνυν
τινὲς ἐκ τῆς διακεκαυμένης εἰς τὴν μεταξὺ αὐτῆς εὔκρατον
ἰόντες, οὐκοῦν ἐπὶ μὲν ὄντες αὐτῶν ὑπὸ τὸν ἰσημερινὸν
ἑκάτερος τῶν πόλων ἐπὶ τοῦ ὁρίζοντος ὀφθήσεται· κοὔτε
ἀφανής τις τῶν ἄστρων αὐτοῖς γενήσεται, οὔτε ἀειφα-
νής. ὅθεν οὐδὲ κύκλοι ἀρκτικοὶ ἀρκτικὸν γὰρ κύ-
κλον εἶναι δεῖ καθόλου μὲν ὁρίζοντα ἀειφανῶν τῶν ἄστρων
τὸν ἀπολαμβάνοντα. ἀνταρκτικὸν δὲ τὸν ἀποκεκρυμ-
μένα περιέχοντα. ἐπειδὰν δὲ ἀρξάμενοι βαδίζειν τοῦ κύκλου
θεν ἐνταῦθα παραγίνεσθαι, ὁ μὲν νότιος πόλος ἀπο-
κρυφθήσεται αὐτοῖς ἀνάγκαι ὑπὸ τοῦ κατὰ τὴν
γῆν κυρτώματος. ὁ δὲ βόρειος, ἐκ τοῦ πρὸς λόγον ᾗς
ὕψος ἀνθέξ αἴροιτο. καὶ οὕτως αὐτοῖς ἐγκλίμα-
λαμβάνοι ὁ κόσμος ἀπὸ τῶν βορείων ἐπὶ τὰ νότια κ
τὰ μὲν ἀφανῆ τὰ δ' ἀειφανῆ γίνοιτο τῶν αὐτῶν τῶν
περὶ τὸν πόλον ἄστρων. καὶ οἱ ταῦτα περιέχοντες, ἀρκτι-
κοὶ ὑφίσταιντο ἂν ἀναγκαίως κατὰ τὴν προκοπὴν
τῆς πορείας μετακλινόμενοι· καὶ τοῦ κόσμου
ἀεὶ μᾶλλον κατὰ τὴν πορείαν ἐγκλινομένην τὴν
θέσιν λαμβάνοντος, τὰ μὲν βόρεια τῶν ζωδίων
ὑψηλὰ καὶ ἐπὶ πλεῖστον ἀπὸ τῶν ὁριζόντων ἐξῃρμένα
ὀφθήσεται· τὰ δὲ νότια ταπεινὰ καὶ μᾶλλον τῶν
ὁριζόντων πελάζοντα· καὶ αὐτοῦ τούτου τὸν τρόπον ἀπο-
μεμετρηκότες πρὸς ἄρκτον ἰόντων, εἰς τὸ ἐμμηνικὸν
τῆς γῆς ἀφίκηται κλίμα πρὸς ὃ καὶ τὰ φαινόμενα
τῶν ἄστρων πεποίηται, ἐφάψεται αὐτοῦ τοῦ ὁρίζον-
τος, ἡ τοῦ δράκοντος κεφαλὴ καὶ οἱ τῆς ἑλίκης πόδες·
ἐν τούτῳ τῷ μεγέθει τοῦ ἀρκτικοῦ ἴσος γενήσεται ἀνά-
γκαίως καὶ ὅτε κεκρυμμένα περιέχων τῶν ἄστρ.
οὕτω δὲ τοῦ κόσμου ἐγκεκλιμένου, ὑπὲρ γῆς ὄντα δῆλον ὡς
ἕκαστος τῶν ἁπλανῶν ἄστρων (σὺν τῷ κόσμῳ φερομένων)

περὶ τὸ οἰκεῖον κέντρον, κύκλον περιγράφει· οὗτοι δὲ
μιῶ πάντες μὲν εἰσὶ παράλληλοι· μέγιστος δ' ἐστὶν
αὐτῶν ὁ τοῦ ἰσημερινοῦ, ἐλάχιστοι δὲ οἱ περὶ τοὺς πόλους
τοῦ κόσμου εἰσίν· ὥσπερ οἱ μὲν ἀπὸ τούτων ἐπὶ
τὸν ἰσημερινὸν ἰόντων γραφόμενοι, μείζους προ-
ϊόντες τῇ ἀπὸ τῶν πόλων ἀποστάσει γίνονται·
οἱ δὲ ἀπὸ τοῦ ἰσημερινοῦ ὡς πρὸς τοὺς πόλους, μι-
κρότεροι πρὸς λόγον τῆς ἀποστάσεως. σύμπαντων
τοίνυν τούτων καὶ τοῦ μεγίστου καὶ τῶν ἐλαχίστων
ὄντων μεταξύ, οἱ μὲν πρὸς τὸν ἰσημερινὸν
κλίματι, τὰ μέγιστα τμήματα ὑπὲρ γῆς· τὰ δ'
ἐλάχιστα, ὑπὸ γῆν ἐστίν· ἐκεῖθεν δὲ ἐν τῷ βαθεῖ
κινουμένων, ὥσπερ ὁ πόλος ἐξαίρηται, ὁ κόσμος
ἐγκλίνεται· οὕτω καὶ οἱ κύκλοι οὐκέτι τὴν αὐτὴν
σχέσιν διατηροῦσιν· ἀλλὰ τοῦ μὲν ἰσημερινοῦ
μέγιστον ὄντος, καὶ εἰς δύο ἴσα τέμνοντος τὸν κόσμον
μένει δ' ὡς τὸ ἥμισυ ὑπὲρ γῆς· καὶ τὸ ἥμισυ ὑπὸ
γῆς· περὶ γὰρ κύκλος εἰς δύο ἴσα τέμνων τὸν κόσμον,
ἢ ὁ ὁρίζων ἐστίν, ἢ εἰς δύο ἴσα ἀπὸ τοῦ ὁρίζοντος
διαιρεῖται· ὥστε τὸ ἥμισυ ἔχειν ὑπὲρ γῆς, φαινό-
μενον δ' ἀεί· τὸ δὲ ἥμισυ κεκρυμμένον· ὥστε ὁ ἰση-
μερινὸς μέγιστος ὢν, μένει τὴν αὐτὴν σχέσιν διαφυ-
λάττων καὶ ἐν ταῖς ἀκράτοις· οἱ δὲ ἀπ' αὐτοῦ πρὸς τοὺς
πόλους ἰόντες κύκλοι, οὐκέτι· ἀλλ' ὅσοι μὲν αὐτῶν
ὡς πρὸς τὸν βόρειον ἴασι πόλον, τούτων τὰ μείζονα
τμήματα ὑπὲρ γῆς γίνεται, διὸ καὶ τῶν ὑψηλοτέρων
ὄντων μετὰ ἀκράτως· τὰ δὲ μείονα ὑπὸ γῆν· ὅσοι
δὲ ὡς πρὸς τὸν νότιον ἴασι πόλον, τὰ μὲν μείζονα ὑπὸ
γῆς ἴσχουσι τμήματα· τὰ δὲ ἐλάττονα, ὑπὲρ γῆν· ὁ
ὥσπερ καὶ ὅλον τὸν ἀνταρκτικὸν κεκρυμμένον· ὁ μὲν
τῶν βορείων ἀρκτικὸν ἔσται ἀειφανῆ· καὶ κατὰ
μὲν τὴν ἡμετέραν ἀκρατον, οὕτως ἔχει· κατὰ δὲ τὴν ἀν-

[illegible]

τὰ ἄκρα τῶν δύο τεταρτημορίων· τὰ γὰρ ἡμερινὰ τὰ θερινά, ἐκεῖ
ὑψηλὰ γίνεται· καὶ ἔτι μᾶλλον ὡς ἀπὸ τῶν νοτίων ἐπὶ
τὰ βόρεια, τοῦ κόσμου ἐκείνοις ἐγκεκλιμένου· ἀπὸ γὰρ
τῶν ὑπὸ τὸν ἰσημερινὸν ἐκεῖ πορευομένων, ὁ μὲν βόρειος
πόλος ἀφανὴς γίνεται· ὁ δὲ νότιος ἐξαίρεται, ὡς
οὕτω τὰ ἐν ἐκείνοις ὑψηλά, ἡμῖν τὰ θερινὰ γίνεται·
καὶ ἔτι μᾶλλον· ὥσπερ καὶ ὁ ἀρκτικὸς αὐτοῖς κέκρυπται
κύκλος· ὁ δὲ ἀνταρκτικὸς ἴσον ἐξαίρεται. τούτων δὲ οὕ-
τως ἐχόντων, ὁ ἥλιος ἀπὸ τροπῶν θερινῶν ἐπὶ τροπὰς τὴν διὰ
τοῦ ζῳδιακοῦ πορείαν ποιούμενος, φανερὸς [115] ὡς ἐφά-
πτεται τῶν κύκλων πάντων· οἱ μεταξὺ τῶν τροπικῶν
εἰσιν. ὁ γὰρ τῶν μέσων ἀπὸ τῶν βορείων ἐπὶ τὰ
νότια ἰὼν, τοῦ χειμερινοῦ τροπικοῦ ἐφάπτεται, βρα-
χυτάτην μὲν τὴν ἡμέραν ποιεῖ. ὁ γὰρ κύκλος οὗτος
πάντων ὧν ψαύει ὁ ἥλιος ὑπὸ γῆν μέγιστον ἔχει τμῆ-
μα, ἐλάχιστον δὲ ὑπὲρ γῆν. καὶ οὕτω τὴν μὲν ἡμέραν
ἐλαχίστην, μεγίστην δὲ τὴν νύκτα ποιεῖ. ἀλλὰ καὶ τὴν
ἡμέραν τότε ἀκρατῶς· ὁ γὰρ τῶν δὲ ἐφαπτόμενος τοῦ χειμερινοῦ
πάλιν ὑποστρέφει πρὸς ἡμᾶς ἐπὶ τὰ ὑψηλότερα τοῦ
κόσμου ἀνατρέχων, ἀεὶ κύκλοις ἐντυγχάνει μείζονα
τοῦ χειμερινοῦ τμήματα ὑπὲρ γῆς ἔχουσι. καὶ οὕτω
ἐκ τοῦ πρὸς λόγον αὐξομένην περιέχεται τὴν ἡμέραν,
μέχρι μὲν τῆς πρὸς τὸν ἰσημερινὸν πορείας, ἐπὶ μι-
κρότερα τῆς νυκτὸς διαμένουσα. ἐπὶ δὲ τοῦ ἰση-
μερινοῦ ἐφάπτεται, ἐφ᾽ οὗ ἴσον τὸ ὑπὲρ γῆς καὶ ὑπὸ γῆν
ἀεὶ ἰσημερίαν ἀποτελεῖ· καὶ λοιπὸν ἐντεῦθεν ἐπὶ τὸν
θερινὸν ἀνατρέχων, ἐπὶ κύκλοις ἐντυγχάνει μεί-
ζονα τὰ ὑπὲρ γῆς ἔχουσι τμήματα, μείζονας ἀνά-
γκας ὡς τὰς ἡμέρας περιέχεται τῶν νυκτῶν. τῆς τοι-
αύτης αὐξήσεως προϊούσης, μέχρις ἂν πελάσῃ τῷ θερινῷ
κύκλῳ· οἱ μέγιστον ὑπὲρ γῆς καθ᾽ ἡμᾶς ἔχει τμῆμα.
πάντων ὧν ἐφάπτεται κύκλων ὁ ἥλιος. ἐπὶ δὲ αὐτοῦ τὴν

ἐν τῷ θερινῷ τροπικῷ, ἡ ἡμέρα μεγίστη περιέχεται· ἐν τοῖς ἄλ-
λοις ὅτι τὰ νότια καθ' ἕκαστον, ἐλάττονα τῶν ὑπὲρ γῆν
θερινοῦ τμήματα ἐκ τοῦ προσλόγου ἔχουσι, μειουμένην
περιέχεται τὴν ἡμέραν· μείζονα μὲν τῆς νυκτὸς μέχρις ἀπο-
τελῶν τῷ ἰσημερινῷ, διαμένουσαν· ὅταν δὲ τούτου ὑ-
φαψάμενος φθινοπωρινὴν ἰσημερίαν ποιήσῃ, ἀλ-
λ' ὡς διελθὼν αὐτὸν, ἐφάπτεται κύκλων, οἳ ἐλάττω τῶν
τὰ ὑπὲρ γῆς τμήματα ἔχουσι· καὶ οὕτως ἀπὸ φθινο-
πωρινῆς ἰσημερίας μείζονες αἱ νύκτες τῶν ἡμερῶν γί-
νονται. καὶ μένει μειουμένη ἡ ἡμέρα μειουμένη· μέχρις ἂν ἀπο-
λαβόντα τῷ χειμερινῷ· ἡ δὲ νὺξ τῆς ἡμέρας μένει μείζων,
μέχρις ὅτου κατὰ τὴν ἀπὸ τοῦ χειμερινοῦ τροπικοῦ αὐξα-
νομένην ἀπὸ τῆς ὑπὸ τούτων ὑποστροφῆς περιεχόμενος τὴν
ἡμέραν τελῶν τῷ ἰσημερινῷ, ἐν ἰσημερινῇ ἐαρινὴν ποιῇ:
οὕτω δὲ τῶν κατὰ τοὺς προειρημένους κύκλους ἐχόντων,
ὅτι οἱ ἡμῖν αὐτάρκτικοὶ τοῖς ἔχουσι τὴν αὐτὴν κρᾶσιν,
ὑψηλοὶ καὶ ἐξηρμένοι γίνονται, εἰ μὴ πάλιν, οὕτω καὶ ὁ ἡμῖν
μετὰ τὸ θερινὸς κύκλος, ἐκείνοις χειμερινὸς γίνεται
ἐλάττονα ἔχων ὑπὲρ γῆς τμήματα· ὁ δὲ χειμερινὸς θερινός,
ὁ ἡμῖν χειμερινὸς γίνεται· καὶ αὕτη ἐστὶν αἰτία τοῦ
ἀντιστραφθαι τὰ κατὰ τὰς ὥρας καὶ αὐξήσεις ἐμ-
φάσεις τῶν ἡμερῶν ἐν ταῖς αὐταῖς κράσεις· καὶ τὸ σύνολον
τῆς καθολικῆς αὐξήσεως ἐμφάσεως τῶν ἡμερῶν τε
καὶ νυκτῶν. ἐν τῇ διακεκαυμένῃ οὐδενὸς τοιούτου
γινομένου, ἀλλὰ διὰ παντὸς ἰσημερίας οὔσης· ὅτι ἴσα
τῶν παραλλήλων ἴσα μέρη ὑπὲρ γῆς καὶ ὑπὸ γῆς ἐστίν:
ἰδεῖ δὲ τούτῳ διὰ κοῦ τὴν προαιρεῖται κινήσει ὁ ποιῶν
μὲν ὁ ἥλιος, ἄλλοτε ἄλλα μέρη αὐτοῦ καταλαμ-
βάνων, οὕτω τὰς ὥρας ἐπιπλοῦν, τὸ ποιεῖ μὲν θερινὴν
ποιεῖ, ὅταν ἐν τῇ ἑσπερίᾳ τῆς ἡμετέρας οἰκήσεως γενόμενος, θερινὸν
τὸν τὸν ἡμέτερον κύκλον· καὶ μεγίστην ἡμέραν ποιῇ,
ἐλαχίστην δὲ τὴν νύκτα. Τροπὴ δὲ χειμερινὴ

ποιεῖ, ὅταν πορρωτάτω τῆς οἰκήσεως ἡμῶν γενόμενος
ἐπὶ τὰ ταπεινότατα πρὸς τὸν ὁρίζοντα, νοτιώτατον γρά-
φει κύκλον. μεγίστην μὲν τῶν ἐν τῷ ἐνιαυτῷ νύκτα ποιεῖ,
ἡμέραν δὲ ἐλαχίστην: Ἰσημερίαν δὲ ἐαρινὴν ποιεῖ,
ὁπόταν ἀπὸ χειμερινῶν τροπῶν, ἐπὶ τὰ βόρεια, ἐ-
πὶ τὸν θερινὸν τροπικὸν ἰὼν, ἐν μέσῳ ἀμφοῖν κατὰ τὴν
πορείαν γενόμενος, ἴσα δ' οἷα διαιροῦντα τὸν ἰσημερινὸν
γράφει κύκλον, καὶ οὕτως ἰσημερίαν τῇ νυκτὶ ποιεῖ: μετοπω-
ρινὴν δὲ ἰσημερίαν ποιεῖ, ὅταν ἀπὸ
θερινοῦ τροπικοῦ ἐπὶ τὰ νότια καὶ τὸν χειμερινὸν
τροπικὸν ὑποστρέφων, καὶ μεσαίτατος ὁμοίως
ἀμφοῖν γενόμενος, τὸν αὐτὸν ἰσημερινὸν γράφει κύκλον:
Αὐξανομένας δὲ ποιεῖται τὰς ἡμέρας, ἀπὸ χειμερινοῦ
τροπικοῦ ἐπὶ τὰ βόρεια τοῦ κόσμου ὑποστρέφων:
μειουμένας δὲ, ἐκ τῶν ἐναντίων, ἀπὸ θερινοῦ τροπικοῦ
ἐπὶ τὰ νότια κατιὼν καὶ τὸν χειμερινὸν τροπικόν:
Αἱ δὲ αὐξήσεις τῶν ἡμερῶν τε καὶ νυκτῶν, οὐ τὸ ἴσον ἑκά-
στης ἡμέρας προστιθέασιν ἢ ἀφαιροῦσιν. ἀλλ' ὁπόσον ἐν τῷ
χρόνῳ τοῦ αὔξεσθαι ἡ ἡμέρα ἀναλαμβάνουσι, τῷ μὲν πρώ-
τῳ μηνὶ, δωδέκατον αὔξεται τῆς ὅλης ὑπεροχῆς, ἣν
ὑπερέχει ἡ μεγίστη τὴν ἐλαχίστην ἡμέραν· τῷ δὲ δευτέρῳ,
ἕκτον· τῷ δὲ τρίτῳ, τέταρτον· καὶ τῷ τετάρτῳ ὁμοίως τέταρτον.
τῷ δὲ πέμπτῳ, ἕκτον· τῷ δὲ ἕκτῳ, δωδέκατον· ὥστε
εἰ ἓξ ὥρας ὑπερέχοι, ἡ μεγίστη τὴν ἐλαχίστην ἡμέραν,
τῷ μὲν πρώτῳ μηνὶ, ἡμιώριον προστεθήσεται τῇ
ἡμέρᾳ· τῷ δὲ δευτέρῳ, ὥρα· τῷ δὲ τρίτῳ ὥρα καὶ
ἥμισυ· ὡς τῇ τριμήνῳ τρεῖς ὥρας γίνεσθαι τὴν προσ-
θήκην· καὶ τῷ τετάρτῳ ὁμοίως ὥρα καὶ ἥμισυ προσ-
τεθήσεται· τῷ πέμπτῳ, ὥρα· τῷ ἐσχάτῳ, ἡμιώριον·
καὶ οὕτως ἀναπληρωθήσονται αἱ ἓξ ὧραι καθ' ἃς ὑπερέ-
χει ἡ μεγίστη τὴν ἐλαχίστην ἡμέραν· ἡ δὲ αἰτία τοῦ μὴ ἴσα
γίνεσθαι τὰς προσθήκας, τοιαύτη ἐστίν: Ζωδιακὸς κύκλος

οὐδὲ τὰ νυχθήμερα δὲ πάντα, λόγῳ ἀκριβεῖ, ἴσα ἐστὶν
ἀλλήλοις ὡς ὑπονοεῖται· ἀλλὰ μόνον πρὸς αἴσθησιν.
ἡ μὲν γὰρ αὐτοῦ τοῦ κόσμου περιφορὰ, καὶ ἐστὶ πάντως
νυχθημέρου· ἀναγκαίως πάντῃ τῷ δρόμῳ, τοῦ κό-
σμου θᾶττον τοῦ νυχθημερινοῦ διαστήματος. τὸν
ἑαυτοῦ κύκλον διεξάγοντος· ὃν τρόπον ἀντὶ δ' ἰών,
τῷ κόσμῳ ὁ ἥλιος πρόεισιν. ἐκ τοῦ ἐλλειφθέντος τοῦ
τοῦ κόσμου ἐπὶ τὸ αὐτὸ σημεῖον, οὕτως ἐπὶ τὴν ἀνα-
τολὴν ὁ ἥλιος θεωρεῖται· ἀλλ' ὁπόταν ἡ περιφορὰ τοῦ
κύκλου συνενεχθῇ ἡ ἡμερινῷ τῷ νυχθημέρῳ. κατὰ
τὴν προαιρετικὴν κίνησιν ὁ ἥλιος, τότε καὶ αὐτὸς ἐπὶ
τὴν ἀνατολὴν φαίνεται· εἰ μὲν οὖν πάντα τὰ δωδεκατη-
μόρια τοῦ ζωδιακοῦ ἴσα ὄντα ἐν ἴσῳ ἀνίσχει χρόνῳ,
συνέβαινεν ἂν καὶ τὰ νυχθήμερα πάντα ἴσα εἶναι. ἐπεὶ
νῦν δὲ τὰ μὲν θερινὰ ζῴδια ὀρθὰ μὲν ἀναφέρεται
λοξὰ δὲ καταδύεται· καὶ ὀρθοῖς ἀναφερομένοις
αὐτοῖς, μακρότερος ὁ τῆς ἀνατολῆς αὐτῶν γίνεται χρόνος·
καὶ τὰ μὲν κοινὰ αὐτῶν ἃ τῶν νυχθημέρων διαφέρει·
ὁ ἥλιος ἀνάλογον βραδεῖαν τὴν ἀνατολὴν ποιεῖται·
τὸ δ' ἔμπαλιν τούτων, ἐπὶ τῶν χειμερινῶν γίνεται ζῳ-
δίων. καὶ οὕτως αἱ μὲν τοῦ αἰθέρος περιστροφαὶ ἴσαι
εἰσί· τὰ δὲ νυχθήμερα, οὐκέτι πρός γε τὸν ἀληθέστατον
λόγον· σχολαιότερον δὲ καθὰ περιέφαμεν, τοῦ ἡλίου
προσιόντος τοῖς ὑποτεταγμένοις, καὶ ὑποχωροῦντος· καὶ διὰ τοῦ
ἐπὶ πλεῖον περὶ αὐτοὺς χρονίζοντος, καὶ οὐκ ὄντων ἀλ-
κύκλων τῶν ὑπ' αὐτοὺς, οὐδὲ τῶν ἐν τοῖς δωδεκατημορίοις,
περὶ σύννη ὑπὸ τῷ θερινῷ κεῖται κύκλῳ, ἢ διὰ βίου
ποιεῖ τι ταύτης δωδεκατημόριον, ἀπὸ τούτων ὅπως στοιδινὶ
τὸ ὡροσκόπιον λαβών, καὶ πάλιν τὸ ὑπὸ τὸν ἰσημερινὸν κύ-
κλον ἀκριβῶς εἶναι ὑπέλαβε· καὶ πεύτιζων εἶναι τὸ
γνώμονα ἀδοκίμων φυσικῶν ἀποφηνᾶν· αὐτὸς
τὴν ὑπ' ἐκεῖνον διακεκαῦσθαι λέγομεν, οἰκουμένην ἀκρά)

εἶναι ἀπεφήναντο. ὅπου γὰρ φησὶν ὅτι πλησίον τοῦ ἡλίου
περὶ τοὺς τροπικοὺς διατρίβοντος, οὐκ εἰσὶν ἀλλ᾽ οἰκητὰ τὰ
ὑπ᾽ αὐτοῖς, οὐδὲ τὰ ἐπὶ τούτοις ἐγγύτερα, πῶς οὐκ ἂν πο-
λὺ πλέον τὰ ὑπὸ τὸν ἰσημερινὸν ἀοίκητα εἴη, ταχέως τοῦ
κύκλου τούτου καὶ προσιόντος τοῦ ἡλίου, καὶ πάλιν ἐνιαυ-
τοῦ ταχὺ ἀφισταμένου αὐτοῦ, καὶ μὴ ἐγχρονίζοντος τὸ
κλῖμα. καὶ μὴν διαπαντὸς φησὶν ἴσης τῆς νυκτὸς τῇ ἡ-
μέρᾳ οὔσης ἐνταῦθα, καὶ διὰ τοῦτο τὸ σύμμετρον ἐ-
χούσης, πρὸς ἀνάψυξιν τὸ διάστημα καὶ τοῦ ἀέρος
τούτου ἐν τοῖς μεσαιτάτοις καὶ βαθυτάτοις τῆς σκιᾶς ὄντος,
καὶ ὄμβροι γενήσονται, καὶ πνεύματα γενήσονται δυνά-
μενα ἀναψύχειν τὸν ἀέρα. ὅτι καὶ περὶ τὴν Αἰθιοπίαν
ὄμβροι συνεχεῖς καταφέρεσθαι ἱστοροῦνται, περὶ τὸ
θέρος καὶ μάλιστα τὴν ἀκμὴν αὐτοῦ. ἀφ᾽ ὧν καὶ ὁ Νεῖλος
πληθύνων τοῦ θέρους ὑπονοεῖται. ὁ μὲν οὖν Ποσει-
δώνιος, οὕτως φέρεται. καὶ δὴ ὁ στρατὸς οὗτος ἔχων, τὰ
ὑπὸ τὸν ἰσημερινόν, διὰ τοῦ ἐπισπίμπασθαι τὰς ἀρ-
πὰς αὐτοῖς. ὅτι δὴ καὶ ὁ ἥλιος, δι᾽ αὐτοῖς κατὰ κο-
ρυφὴν γίνεται. δι᾽ οὗ ἰσημερίας ποιοῦσιν. οἱ δ᾽ ἀντιλέ-
γοντες τῇ δόξῃ ταύτῃ τοῦ Ποσειδωνίου, φασὶν ὅτι εἰ ὡς
νενόμικε τοῦ ὅτι παρὰ δὲ περὶ τοὺς τροπικοὺς διατρίβοντα
ἥλιον, ἔδει ὑγρὰ τὴν περὶ τούτου δόξαν εἶναι τοῦ Ποσει-
δωνίου. ἀλλὰ ἀπὸ μὲν τῶν τροπικῶν πάλιν, ὅτι
παρὰ δὲ ὁ ἥλιος ἀφίσταται· οὕτως καὶ ὁ ὑπ᾽ αὐτοῖς ἀὴρ ὅτι
πλέον ἀναψύχεται· καὶ δύναται τὰ κλίματα οἰκεῖσθαι.
τῶν δὲ ἰσημερινοῦ μέσως τῶν τροπικῶν ὄντος, καὶ πρὸς
ὀλίγον ἀφίσταται, καὶ ταχεῖαν τὴν ὑπ᾽ αὐτῶν ὑποστρο-
φὴν ποιεῖται. καὶ τὰ μὲν ὑπὸ τοῖς τροπικοῖς, κατα-
δέχεται τὰ ἀπὸ τῶν κατεψυγμένων ζωνῶν ἐτησίας πνεύ-
ματα καὶ παραμυθοῦνται τὸν ἀπὸ τοῦ ἡλίου φλογμόν,
ἀναψύχοντα τὸν ἀέρα· μέχρι δὲ τοῦ ἰσημερινοῦ ταῦτα,
οὐχ οἷά τε διικνεῖσθαι. ἡ δὲ δείκνυται θερμὴ καὶ φλογώδης

τὸ ὁλικὸν τῆς πορείας ὑπὸ τοῦ ἡλίου διανύσεται· τότ'
ἴσην εἶναι τὴν νύκτα τῇ ἡμέρᾳ, οὐδὲν δ' ἧττον καθ' αὑτὸ
δύναιτο· πρὸς ἀναψύξιν τοῦ ἐκεῖ ἀέρος· ἀφάτῳ
τῇ δυνάμει τοῦ ἡλίου κεχρημένον, καὶ ὀρθὴν καὶ ἐμ-
πίπτουσαν ὅτι πρὸ τούτο τὸ κλῖμα, διὰ παντὸς ἐκπέμπον-
τος τὴν ἀκτῖνα· ὅ πειθεῖ μὲν ἀξιόλογον, ἀπ' αὐτοῦ τὴν
[illegible] ὑπονοεῖται δὲ ὑπὸ τῶν φυσι-
κῶν καὶ σὺν ποιεῖται· κατὰ τοῦ το-
κοῦντο τὸ πλεῖστον τῆς μεγάλης θαλάττης, κατὰ τοῦ τὸ
κλῖμα ὑποβεβλῆσθαι, εἰς τροφὴν τῶν ἄστρων μετὰ
τὰ τὸν ὑπάρχον, ὥσπερ οὐκ ὀρθῶς εἰσὶ οἰκεῖν ἐνταῦθα ὄντα
σφοδρώς φέρεσθαι, ὅλης δὲ τῆς γῆς καθ' ὑπόθεσιν
οἰκουμένης, τῶν οἰκήσεων, αἱ μὲν περίσκιοι· αἱ δὲ, ἑτε-
ρόσκιοι· αἱ δὲ, ἀμφίσκιοι γενήσονται· περίσκιοι
μὲν, αἱ ὑπὸ τοῖς πόλοις, ἐν αἷς ἡ μεγίστη νύξ,
ὅτι ἐν αὐταῖς διαιρεθήσεται· οἰκοῦντες μὲν γίνομεν-
τες ὑπὸ τῶν ἰσημερινοῦ· ζωδιακὸν δὲ ἔξω διὰ παν-
τὸς αὐτοῖς, τοῦ ἰσημερινοῦ ζωδιακὸν δὲ ἔξω ὑπὸ τῶν
τοὺς τῶν αὐτῶν ὑπὸ γῆς ὄντων· καὶ ἔξω ὑπὸ τῶν
κύκλον ὥσπερ· γνώμονος περὶ αὐτοὺς αἱ σκιαί,
περὶ σκιὰν αὐτοῖς ποιοῦσι· περὶ ἅπαν σῶμα τοῖς μὲν,
λοις ἐν τοῖς ὑπὸ τοῦ πόλου καὶ μέσοις τρεφομένων κόσ-
μος,
ἑτερόσκιοι δ' εἰσὶν, αἱ ἄκρατοι ὅτι ὅπου μέσον
μετρεῖ ἀντιγίνεται ὁ ἥλιος, τῶν μὲν τὴν βορείαν ἐχόν-
των ζώνην, πρὸς βορρᾶν ἀποκλίνουσιν αἱ σκιαί· τῶν οἱ
δὲ τὴν ἄκρατον ἡμῖν, πρὸς νότον. ἀμφίσκιοι
δ' εἰσὶν οἱ ἐν τῷ ἰσημερινῷ οἰκοῦντες· πρὸς νότον μὲν, περὶ
ὄντες καὶ ὡς πρὸς τὸν χειμερινὸν ἀπὸ τοῦ ἰσημερινοῦ
κύκλου, τοῦ ἡλίου, πρὸς βορρᾶν ἀποκλίνουσιν αὐτῶν
αἱ σκιαί· πρὸς δὲ τὸν θερινὸν ἀπὸ τοῦ ἰσημερινοῦ
παρελθόντος, πρὸς νότον ἂν ῥέποιντο· καὶ τοιαύτη μὲν
ἐστὶν κατὰ τὰς ζώνας τῆς γῆς διαφορά· ἔστι δὲ δεῖ
κἀκεῖνο σημειῶσαι ἐνταῦθα· ὅτι κατὰ ταὐτὸν μὲν
αὔξεται καὶ μειοῦται ἡ ἡμέρα, πᾶσι τοῖς ἔχουσι τὴν ·

[illegible]

καὶ ... ἀνὰ εὔκρατον· οὐ μὴν ἴσως τε περιαδηκῆ(?) κ(αὶ) ἀφαι-
ρέσεις, παρὰ πᾶσιν ἐστίν· ἀλλὰ πολλή ἐστιν ἡ ἐν τούτ-
ῳ διαλλαγή· τοῖς μὲν, ἐλαχίστης γινομένης περιαθήκης
τε ἀφαιρέσεως· τοῖς δὲ, μεγίστης· τοῖς δὲ, μέσης· τούτου
δ᾽ αἴτιον ἐστὶ, τὸ μὴ ἴσως παρὰ πᾶσιν ἐγκεκλίσθαι
τὸν κόσμον· μὴ δὲ τὸν βόρειον τῶν πόλων ταὐτὰς
μοίρας ἀπὸ τοῦ ὁρίζοντος ἐξῆρθαι· ἀλλὰ τοῖς πρὸς
(τοῖς πλησίον τῆς διακεκαυμένης)
μεσημβρίαν οἰκοῦσι, πρὸς ὀλίγον· τοῖς δὲ πρὸς
ἄρκτον, ἐπὶ πλέον· τοῖς δὲ μέσοις τούτων, μέσως· πρὸς
μεσημβρίαν μὲν γὰρ ἀπὸ ἄρκτου προιοῦσι, ταπει-
(ὁ βόρειος)
νότερος ὁ πόλος γίνεται, ἀνάπαλιν· καὶ μεῖον τὸ ἔγκλι-
μα τοῦ κόσμου· ἐκεῖθεν δὲ πρὸς ἄρκτον ἰοῦσι, τοὐναν-
τίον· ἐν μὲν γὰρ τῇ ὑπὸ τὸν ἰσημερινὸν οἰκήσει, ἑκάτερος
τῶν πόλων, ἐπὶ τοῦ ὁρίζοντος θεωρεῖται· ἁπάντων τε τῶν
παραλλήλων ἴσα ὑπὲρ γῆν καὶ ὑπὸ γῆν τμήματα
ὁρᾶται, ὡς εἴρηται· καὶ τοῦ παρ᾽ αὐτοῖς ὁρίζοντος, ὁ ἄξων
διάμετρος γίνεται· καὶ οὔτε ἀειφανὴς, οὔτε ἀφανής
ἐστι τῶν ἀστέρων αὐτοῖς οὐδείς· ἐκεῖθεν δὲ προσιοῦσιν
ἰοῦσιν, τῷ σφαιρικῷ σχήματι τῆς γῆς, ὅ τε πόλος ἐξ-
αίρεται ὑπὲρ ἡμῶν, καὶ οἱ ὁρίζοντες μεταπίπτουσι, καὶ
ὁ ἄξων, οὐδενὸς ἔτι διάμετρος αὐτῶν γίνεται, διὰ τὴν γι-
νομένην ἔγκλισιν τοῦ κόσμου, ἀπὸ τούτων ἐξαιρο-
μένου· κατὰ τὸ τοῦ πόλου ὕψωμα καὶ κύκλοι ἀρκτικοὶ
ἄλλοι παρ᾽ ἄλλοις γίνονται· κατὰ τὰς τῶν ὁριζόντων
(μεταπτώσεις)
μεταπτώσεις· διὰ γὰρ τοὺς ἀρκτικοὺς, τὰ περὶ καὶ τοὺς
ἀειφανεῖς τῶν ἀστέρων περιέχοντας, γράφεσθαι πολλάκις
διαστήματι τῷ περὶ καὶ τοῖς ὁρίζοντι· τοῖς μὲν οὖν
πλησίον τῆς διακεκαυμένης καὶ πρὸς μεσημβρίαν
οἰκοῦσιν, ἐλάχιστοι γίνονται οἱ ἀρκτικοί· διά τε καὶ
τὴν ἔγκλισιν τοῦ κόσμου βραχεῖαν εἶναι· καὶ τὸν πόλον
πρὸς ὀλίγον ἀπὸ τοῦ ὁρίζοντος ἐξηρμένον φαίνεσθαι· τοῖς
δὲ πρὸς ἄρκτον καὶ πλησίον τῆς κατεψυγμένης, ἀνά-

εἰ ἴσως ὁ ἄξων τῶν ... πόλων:

ἀνίσχοντες· ὅ τε ζῳδιακὸς γίνεται ὅτε χωρίζει τὸ ὑπὸ γῆν
τοῦ κόσμου ἡμισφαίριον, ἀπὸ τοῦ ὑπὸ γῆν· ἴσαι μὲν
νύκτες δέ, ὅτι αὐτὸς ὁ ὁρίζων ὁ διαιρῶν αὐτὴν εἰς τὰ ἡμισφαίρια τὴν
ἡμέραν καὶ τὴν νύκτα· οἱ καὶ τοῖς ἄλλοις μὲν πᾶσιν ὑπὸ
σκιὰν μηδενὸς ὁρίζοντος οὐκ ὄντος δέ, οὔτε ὁρίζων οὔτε ἀρκτικοί·
καὶ τὰ μὲν κατὰ τὰς διαφορὰς τῶν κατὰ τὰς ἡμέ-
ρας καὶ νύκτας αὐξήσεις τε καὶ μειώσεις, τοιαῦτ' ἐστί·
ὥρα πρὸς σὺν ἀποφῆς ἐξισοῦμεν τῶν σκοτισμῶν τε
καὶ φωτισμῶν τοῦ ἀέρος. τὸν μὲν γὰρ τῆς διακεκαυ-
μένης, ἴσαι διὰ παντὸς αἱ νύκτες ταῖς ἡμέραις· τὸν δὲ
τοῖς ἄλλοις κλίμασιν, τὸν τρόπον ἐξισοῦνται τὸ
τοσοῦτον. τῶν περὶ ἐκείνους μεγίστων ἡμερῶν ταῖς
μεγίσταις νυξὶν ἐξισουμένων· μετά τε τῶν σκοτισμῶν
μετά τε τῶν φωτισμῶν τοῦ ἀέρος παρ' αὐτοῖς πλέον ἐ-
κτουμένων· ἀλλ' αἰτία τοῦ ὅλου ἐναντίου διαιρῶν-
τες ταῦτα· αἴτιον δὲ πάσης τῆς περὶ τὰ προειρημένα δι-
αφορᾶς ἐστι, τὸ τὴν γῆν σχῆμα σφαιρικὸν ὑπάρχειν.
Καὶ αὐτοῖς πολὺ πρότερον ὅτι ὅλος ὁ πᾶς κόσμος. ὥστε
καὶ αὐτοῖς τὸ σχῆμα τῶν ἰδέας, οὐδὲν ἂν εἶναι δυνατὸν τὸ
ραῖς τὸ σχῆμα τῶν ἰδέας, οὐ δεῖν ἂν εἶναι διωρι-
τῶν προειρημένων· ἀποδείξομεν δ' ἑξῆς ὅτι τοιούτῳ τῷ
σχήματι καὶ ὁ σύμπας κέχρηται κόσμος, καὶ τὰ
ἀξιολογώτατα τῶν μερῶν αὐτοῦ· δοκεῖ μὲν οὖν
καὶ αὐτὴ ἡ ὄψις ὑπαγορεύειν, ὅτι σφαιροειδὴς ὁ
κόσμος· οὐ μὴν τοῦτό γε ἱκανὸν εἰς ἀπόδειξιν τοῦ ποιῆσαι πίστιν
τοῦ περὶ αὐτῶν σχήματος· οὐ γὰρ πάντα ἡ μὲν ὄψις
φαντάζεται ἀληθῶς· ὅθεν ἀπὸ τοῦ ἐναργοῦς
καταληπτικῶς ἡμῖν φαινομένου, ἀπὸ τῶν μὲν αὐτοῦ
ἐκφανῶν, κατὰ τὴν φαινομένην ἀκολουθίαν περαί-
νεσθαι προσήκει· αὐτίκα νῦν ἀποδείξομεν ὅτι τὸ
στερεώτατον αὐτοῦ καὶ πυκνότατον μέρος, ἡ γῆ σφαι-
ροειδεῖ κέχρηται σχήματι, ῥᾳδίως ἂν ἀπὸ τούτου περὶ
τὰ λοιπὰ τῶν μερῶν αὐτοῦ μετιόντες, καταμάθοιμεν

ὅτι σφαιροειδὴς ὁ κόσμος

ὅτι τὸ πᾶν σφαιρικόν ἐστι· καὶ οὕτως καὶ ὁ σύμπας
τοιοῦτον ἔχει σχῆμα· πλεῖσται τοίνυν διαφοραὶ περὶ τοῦ
κατὰ γῆν σχήματος, παρὰ τοῖς παλαιοτέροις τῶν φυσικῶν
γεγόνασιν· οἱ μὲν γὰρ αὐτῶν, αὐτῇ τῇ κατὰ τὴν ὄψιν φαν-
τασίᾳ ἀκολουθήσαντες, πλατεῖαν καὶ ἐπίπεδον τῷ
σχήματι κεχρῆσθαι αὐτὴν ἀπεφήναντο· ἕτεροι δὲ
ὑπονοήσαντες ὅτι μὴ ἂν διέμενε τὸ ὕδωρ ἐπ' αὐτῆς,
εἰ μὴ βαθεῖα καὶ κοίλη τὸ σχῆμα ἦν, αὐτὴν τούτῳ κε-
χρῆσθαι τῷ σχήματι ἔφασαν αὐτήν· ἄλλοι δὲ κυβο-
ειδῆ καὶ τετράγωνον εἶναι αὐτὴν ἀπεφήναντο· τινὲς
δὲ πυραμοειδῆ· οἱ δὲ ἡμέτεροι καὶ ἀπὸ τῶν μαθη-
ματικῶν πάντες· καὶ οἱ πλεῖστοι τῶν ἀπὸ τοῦ Σωκρατ-
ικοῦ διδασκαλείου, σφαιρικὸν εἶναι τὸ σχῆμα τῆς γῆς δι-
εβεβαιώσαντο· ἑτέρου τοίνυν σχήματος παρὰ τὰ προ-
ειρημένα, οὐκ ἂν ἀφυῶς προσφέροντες αὐτῷ, ἀνα-
γκαίως δὲ τὸ τοιοῦτον διεζευγμένον ἀληθὲς γένοιτο· ἤτοι
πλατεῖα καὶ ἐπίπεδός ἐστιν ἡ γῆ, ἢ κοίλη καὶ βαθεῖα
ἢ τετράγωνος· ἢ πυραμοειδής· ἢ σφαιροειδὴς τῷ σχήμα-
τι· εἴπερ οὖν ὡς ἀληθὲς τοῦτο τὸ διεζευγμένον· τὸ παρὰ τὰ
διαλειπτικῶς διὰ πλειόνων ἐπὶ μετὸν δ' ἀποδεικτόν,
προϊόντες δείξομεν ὅτι σφαιροειδὲς ἔχει τὸ σχῆμα ἡ γῆ·
φήσομεν γὰρ ὅτι ἄλλα μὲν οὔτε πλατεῖα ἐστίν, οὔτε κοίλη·
οὔτε τετράγωνος· οὔτε πυραμοειδής· ὡς δείξομεν ταῦτα
ἔπειτα ὅποιον μὲν ὡς σφαιροειδὴς εἶναι αὐτήν. ἀναγκαι-
ότατον ἐστίν· ὅτι τοίνυν οὐκ ἔστιν ἐπίπεδος, οὕτως
ἂν καταμάθοιμεν· εἰ πλατεῖα καὶ ἐπίπεδος τῷ σχήματι
κέχρητο, εἷς ἂν ἦν ὁ ὁρίζων, παρὰ πᾶσιν ἂν οἷς οὔτε
ὄντων ὅτι νοοῦμεν πρὸς ἂν τοιούτῳ τῆς γῆς σχήματι, με-
τὰ τὸ ποιεῖν οἱ ὁρίζοντες· ἑνὸς δὲ ὄντος ὁρίζοντος, κατὰ
τοῦτον ἂν παρὰ πᾶσιν αἱ ἀνατολαὶ καὶ δύσεις ἐγίνοντο·
ὥσπερ καὶ αἱ ἀρχαὶ τῶν ἡμερῶν καὶ νυκτῶν κατὰ τοῦτο ἐγίνοντο·
νῦν δὲ οὐ κατὰ ταὐτὸ τοῦτο· ἀλλὰ πλεῖστα φαίνεται καὶ ἐν

βαθύτατα τὰ κοιλώματα οἰκοῦντες, οὐκ ἂν οἱ οἰ-
νοῦντες τὴν θάλασσαν ὑπὲρ τῆς ὀρῶν· ὅθεν οὐδὲ τὸ ἴσον μεγέθει
τοῦ κόσμου· καὶ ἡμεῖς ὅταν εἰς βαθύτερον ὄντι κατελ-
θόντες, ἀπὸ δυσμῶν εἰς τὴν ὄψιν βραχὺ πρὸς αὐτόν, ἀλλ'
οὐδὲ τὸ πᾶν ἡμισφαίριον ὁρῶμεν· ἐν αἰνίγματι ...
παντός, μείζονα τῶν ἡμισφαιρίων ... τῆς ὑποκει-
μένης τῇ κυρτότητι περιφορείας τοῦ οὐρανοῦ, πολὺ
μᾶλλον δὲ ἴσως τῆς ὑποκειμένης κοιλότητος, περι-
φερείας· μεσότατης τῆς γῆς τοῦ κόσμου διδο-
μένης· ἀδύνατον κυβοειδῆ ἢ τετράγωνον εἶναι τὴν γῆν, ἐπεὶ
ἐγίνετο ἂν ἐξ ἡμερῶν ἐφ' ἡμᾶς γίνεσθαι τὴν ἡμέραν·
δεκαδύο ὀκτὼ τὴν νύκτα· ἑκάστης πλευρᾶς τοῦ
κόσμου ἓξ ὥρας καταλαμπομένης ἑκάστης
πλευρᾶς αὐτοῦ· ὁμοίως μηδὲ ἐν ἄλλῳ τῶν σχημάτων
περὶ αὐτήν, τὰ φαινόμενα δείκνυσιν, ἀλλ' ἀνάγκη
σφαιροειδῆ εἶναι αὐτήν· κατὰ τὸ τῶν πλείστων
ἀναπόδεικτον· ὅ ἐστι δεικνὺς προηγουμένῃ δόξῃ
ὅτι σφαιρική ἐστιν, ὁμοίως δὲ ἀπὸ τῶν φαινομένων
ὁρμώμενοι· διὰ τῶν γὰρ δεικνυμένων διὰ τῶν προ-
ειρημένων εἶναι σχημάτων περὶ αὐτήν, διὰ τοῦ δεί-
κνυται, ὅτι σφαιρική ἐστι· πρῶτον μὲν γὰρ, ὅτι μὴ
τὰ πάντα πᾶσιν αὐτοὶ οἱ ὁρίζοντες· ὅτι ... οὐ
τὰ αὐτὰ παρὰ πᾶσιν ἄστρα θεωρεῖται· περὶ δὲ
κλίμασι μεσημβρινῶν· οὐδὲ τὸ τῶν πόλου ὕψος·
οὐδὲ τὸ μέγεθος τοῦ ἀρκτικοῦ· οὐδὲ τὰ μεγέθη τῶν
ἡμερῶν τε καὶ νυκτῶν· ἅπερ ἅπαντα δείκνυσι σα-
φῶς, ὅτι σφαιρικόν ἐστι περὶ τὴν γῆν σχῆμα· ἐν
ἑτέρῳ γὰρ σχήματι, οὐδὲν τῶν φαινομένων γίνεσθαι
δυνατόν· ἀλλ' ἐπὶ μόνης σφαίρας ὅτι φαίνεσθαι
ταῦτα ἅπαντα τῶν συμπτωμάτων δυνατόν· καὶ μὲν ὅτι
ἐν πλάτει γῆ πλάτους μὲν ἡμῶν ... πρῶται ταῖς ἀρκτι-
κοῖς ... ἐντυγχάνει· τὰ δ' ἄλλα ὑπὸ τῆς κυρτότητος

ὅτι ἐπιπροσθεῖται· ἔτι τὰ κατὰ τὴν πορείαν ὑποτιθέ-
μενοι τὰ κυρτώματα, καὶ ταῖς λαγόσι τῶν ὀρῶν
ἐντυγχάνομεν καὶ τοῖς προσώποις· καὶ ἐν αὐτοῖς δὲ
τοῖς πλοίοις ὁπόσα μὲν οὐχ ὁρᾶται ἀπὸ τῶν κατα-
στρωμάτων ἢ ἐκ κοίλης νεώς, ταῦτα ἐπὶ τοῦ ἱστοῦ
ἀνιόντες, καὶ τὰ ἐπιπροσθούμενα τῶν κυρτωμάτων
ὑποτιθέμενοι, πολλάκις ὁρᾶν εἰώθασιν· ἐν ᾧ
δὲ ἀποδύνει ὁ ἥλιος, πρὸς τὸν ἐν σκάφῃ ἀποκρύπτεται
τοῖς ἐπὶ τῶν ἱστῶν ὁρώμενος, καὶ ὁπότε ἐκ θαλάσσης
πλησιάζοι, ὁμοίως πρῶτον ὁρᾶται τὰ ἄκρα, τὰ δὲ
σκάφη ἐπιπροσθεῖται, ὑπὸ τῆς περὶ τὸ ὕδωρ κυρ-
τότητος· ἅπερ ἅπαντα μόνον οὐ γραμμαῖς καὶ ἀπο-
δείξεσιν ἐμφαίνει, διότι σφαιρικόν ἐστι τὸ τῆς γῆς
σχῆμα. ἀναγκαῖον οὖν καὶ τὸν περιέχοντα αὐτὴν ἀέρα
σφαιροειδῆ εἶναι, ἀπὸ ὅλης αὐτῆς τῶν ἀναθυμιά-
σεων αἰρομένων καὶ ὅτι ἐστὶ σύρροιος, καὶ οὕτω καὶ τὸ τοῦ
ἀέρος σχῆμα, ὅμοιον δ' ἀπεργαζόμενον· οὐ μὴν δὲ μάλιστα
στερεῶν σωμάτων, οἷα περ ἐστὶ πολλαχῶς σχηματί-
ζεσθαι· ὅτι δὲ ἐπὶ πραγματικῆς ἡ τῶν ὑδάτων οὐσία ὡς
ὁπότε καθ' αὑτὰς εἶεν, οὐδὲν ἐγχωρεῖ τοιοῦτον γίνε-
σθαι· ὅτι τὸ οἰκεῖον οὖν τῇ φύσει αὐτῶν περιαγόμενον
σχῆμα περιτεινόμεναι καὶ τὸ ἴσον ἀπὸ τοῦ μέσου πάν-
τη ἀποτεινόμεναι· μάλα κἀκεῖ αὐτῶν τῆς ὁμοι-
ώσεως, καὶ μένθεμοι ὄντος στερεοῦ, ὅ ἀλλ' σχηματίζοι-
ντο αὐτά· τοῦ δὲ ἀέρος ὄντος σφαιρικοῦ, οὕτως ὁ
αἰθὴρ πάλιν τοῦτον περιέχει τε κύκλῳ, καὶ οὔτε ὑπό τινος
στερεοῦ εἰς γωνίας ἀνακλινόμενος, οὔτε ὑφ' ὅτου μή-
τι σχηματίζεσθαι αὐτόν, τί βιαζόμενον ἔχων, σφαῖ-
ρα καὶ αὐτὸς ἂν εἴη ἀναγκαίως· ὅθεν πολλὴ ἀνά-
γκη καὶ τὸν σύμπαντα κόσμον τοιούτῳ σχή-
ματι κεχρῆσθαι· ἐμήν, κἀκεῖνο γε πιθανῶς τὸ
πλεῖστον τῶν σωμάτων τῷ πλείστῳ τούτῳ σχήματι.

κεχρῆσθαι. καὶ ἐπεὶ πάντων μὲν σωμάτων τελειότατος ὁ κόσμος·
πάντων δὲ σχημάτων τελειότατον ἡ σφαῖρα· αὕτη γὰρ οἵα τέ ἐστι περι-
λαμβάνειν πάντα τὰ τῇ αὐτῇ διαμέτρῳ κεχρημένα
τῶν σχημάτων· τῶν δὲ ἄλλων σχημάτων, οὐδὲν οἷ-
όν τε περιλαμβάνειν σφαῖραν τὴν ἴσην διάμετρον κε-
χρημένην αὐτῷ· ἀναγκαιότατον εἶναι γὰρ οὕτω, σφαι-
ραν εἶναι τὸν κόσμον· ὅτι δὴ ἐστὶν ὑπὸ τοῦ κόσμου περι-
εχόμενον αὐτὸ τὸ μεσαίτατον ὃ ἐπέχει αὐτός, πάλιν διὰ
τῆς ἐφόδου τῆς κατὰ τῶν διαλεκτικῶν πέμπτον ἀνα-
πόδεικτον, ὁρμώμενοι πιστωσόμεθα· τὸ γὰρ τοιοῦτο
διεζευγμένον ἀληθές, καὶ ἀναγκαῖον· ἡμεῖς ἐμπερι-
εχόμενοι τοῦ κόσμου, ἤτοι πρὸς ἀνατολὴν ὄντες, ἢ δύσει
ἢ πρὸς ἄρκτον ἢ πρὸς μεσημβρίαν· ὑψηλοτέρα ἐκεῖ
τα ωτιμοτέρα τοῦ μέσου· ἢ αὐτὸ τὸ μεσαίτατον ἐπέ-
χει αὐτοῦ· οὐδὲν δὲ πρὸ τοῦ τελευταίου ἀληθές ἀλλ'
ὡς δείξομεν· ἀναγκαῖον ἄρα τοῦ κόσμου τὸ με-
σαίτατον ἐπέχειν αὐτήν. ὅτι τοίνυν μὲν ἐστὶ πρὸς
ἀνατολῇ, δῆλον ἐκ τούτου· ἡ γὰρ ἦν πρὸς ἀνατολῇ, ἀνί-
σχοντος ἂν τοῦ ἡλίου, βραχύτεραι ἐγίνοντο αἱ τῶν ἀφω-
τιζομένων σκιαί· δυομένου δέ, μείζους ἂν ἀπετε-
λοῦντο· πλησιάζοντος γὰρ τοῦ τῶν φωτιζόντων, μικρ-
ότεραι γίνονται αἱ σκιαί· ἀφισταμένου δὲ ἐπὶ πλέον περι-
λόγον τῆς ἀποστάσεως, μεγεθύνεσθαι εἰώθασι· καὶ
μὴν καὶ τὰ ἀνατέλλοντα πάντα, μείζονα ἐφαίνετ-
ο ἂν ἡμῖν, πλησιάζοντα τῆς ἀνατολῆς οὖσι· δυόμενα
δὲ ὡς πορρωτέρω ἀπιόντα, βραχύτερα· αἱ πρὸ τοῦ
τῆς ἡμέρας ἰσημεριναί, βραχύταται ἂν ἐγίνοντο ταχὺ
ἡμῖν κατὰ κορυφὴν τοῦ ἡλίου γινομένου· αἱ δὲ ἑσπέ-
ραι, μακραί· ἀπὸ τοῦ ἀπὸ κορυφῆς διαστήματος, ἐπὶ
τὴν δύσιν μείζονος ὄντος· ὧν οὐδὲν ἐν τοῖς φαινομένοις
ἐστίν· οὐκ ἄρα πρὸς ἀνατολῇ μᾶλλον ἡ γῆ ἐστίν· ἀλλὰ μὴν
οὐδὲ πρὸς δύσει μᾶλλον, πάντα γὰρ ἂν τὰ ἐναντία τοῖς



προειρημένοις συμβαῖνον· ἀλλὰ περὶ ἄρκτον ἦν μᾶλλον
ἡ γῆ, συμβαίνειν ἂν κατὰ πάσας τὰς ἀνατολὰς, περὶ τοῦ
δὲ κλίμα ἀποπίπτειν, τὰς τῶν φωτιζομένων σκιάς· ἀλλὰ περὶ
μεσημβρινὴν νῦν, περὶ μεσημβρινὴν ἀποκλίνοντος, ἐκ
ἀνίσχοντος καὶ δυομένου τοῦ ἡλίου· νῦν δὲ, οὐδὲν γί-
νεται τούτων· ἀλλ' ἐν μὲν ταῖς ἰσημερίαις ἀνατέλλοντος,
περὶ ἰσημερινὴν δύσιν ἀποκλίνουσιν αἱ σκιαί· δυο-
μένου δὲ, περὶ ἰσημερινὴν ἀνατολήν· ἐν δὲ χειμεριναῖς
τροπαῖς, ἀνατέλλοντος μὲν, περὶ θερινὰς δύσεις· δυο-
μένου δὲ, περὶ θερινὰς ἀνατολάς· ὅταν δὲ ἐν θερι-
ναῖς ἀνίσχῃ, περὶ χειμερινὰς δύσεις ἡ ἀπόκλισις γί-
νεται τῶν σκιῶν· δυομένου δὲ περὶ χειμερινὰς ἀνα-
τολάς· ὡς χιασμὸν γίνεσθαι τῶν σκιῶν. ὅθεν οὐδὲ
περὶ τούτων τι νῦν τῶν κλιμάτων ἐστίν· ἀλλὰ δὲ ἐπὶ ὑψηλοτέρα
τοῦ μέσου, οὔτ' ἂν τὸ ἥμισυ τοῦ κόσμου ὑπὲρ γῆς ἐφαίνετο,
οὔτε τὰ ἓξ ζῴδια καὶ ρπ' μοῖραι· οὔτε τὸ τοῦ ἰσημερι-
νοῦ ἥμισυ· ἀλλὰ μείονα τούτων πάντα. ὅθεν καὶ τὰς νύκτας
τῶν ἡμερῶν διὰ παντὸς ἂν συνέβαινε μείζονας εἶναι·
ἀλλ' εἰ ταπεινοτέρα τοῦ μέσου ἦν, τἀναντία πάντα συνέ-
βαινε τῶν προειρημένων. μείζονος ὄντος ἔσεσθαι ὑπὲρ γῆς τοῦ
ἡμισφαιρίου· ὥσπερ οὔτε ἐν ὕψει, οὔτε ἐν ταπεινώματί
ἐστι. δέδεικται δὲ ὅτι μέσην περὶ τῶν πάντα κλίματά ἐστιν αὐ-
τὸ ἄρα τὸ μεσαίτατον ἐπέχειν αὐτὴν ἀνάγκαιον. ἐπὶ
τούτοις συμβαίνει τῶν ἐν κόσμῳ σωμάτων ὅσα βαρέα, ἑκα-
τοστὰ τὸ ἔχειν ὀφείλουσι. ὅπερ ταυτὸν τῷ μέσαι ἐστί.

περὶ [illegible] 160 ἔτι δὲ τῇ μεγέθους ἰσότητι, πλείοσι μὲν φόροις δὲ
ξαι περὶ τοῖς φυσικοῖς· βέλτιον δὲ τῶν ἄλλων εἰσὶν
ἥ τε Ποσειδωνίου καὶ Ἐρατοσθένους· αὕτη μὲν διὰ γεω-
μετρικῆς ἐφόδου δεικνύουσα τὸ μέγεθος αὐτῆς· ἡ δὲ τοῦ
Ποσειδωνίου ἐστὶν ἁπλουστέρα. ἑκάτερος δὲ αὐτῶν ὑπο-
θέσεις τινὰς λαμβάνων διὰ τῶν ἀκολούθων ταῖς ὑποθέ-
σεσιν, ἐπὶ τὰς ἀποδείξεις παραγίνεται. πρότερον μὲν δὲ

[illegible]
[illegible]

Τίθεται δὲ καὶ μὴν ἐν ταῖς τροπαῖς ὡρολογεῖα εἰς ἑκατέρων τῶν
πόλεων, ἑκατέρων σκιὰς ἀποβαλλόντων, μείζονα ἡ ἐν Ἀλεξαν-
δρείᾳ δείκνυται ἀναγκαίως διὰ τὸ πλείονα ἀφεστάναι τοῦ χει-
μερινοῦ τροπικοῦ τὴν πόλιν ταύτην. λαμβάνοντες οὖν τὴν
ὑπεροχὴν τῆς σκιᾶς, καθ' ἣν ὑπερέχει ἡ ἐν Συήνῃ πρὸς
τὴν ἐν Ἀλεξανδρείᾳ, εὑρίσκουσι καὶ ταύτην μέρος πεντηκοστὸν
τοῦ μεγίστου τῶν ἐν τῷ ὡρολογίῳ κύκλων· καὶ οὕτως ἐκ τοῦ
τούτων γνώμονος γίνεται ὅτι πέντε καὶ εἴκοσι μυριάδων
σταδίων ὁ μέγιστος τῆς γῆς κύκλος ἐστίν· καλοῦσιν ἡ διάμετρος τῆς
γῆς σταδίων ὀκτὼ μυριάδας· τρίτον γε τοῦ μεγίστου τῶν
ἐν αὐτῇ κύκλων ἔχειν ὀφείλουσα. οἰόμενοί τινες μὴ δύνασθαι
τὴν γῆν σφαιροειδῆ εἶναι διὰ τὰ τῆς θαλάσσης κοιλώματα
καὶ τὰς τῶν ὀρῶν ἐξοχάς, πάνυ ἀλόγως τοῦτο δοξάζουσιν·
οὔτε γὰρ ὄρος ὑψηλότερον πέντε καὶ δέκα σταδίων κατὰ τὴν
κάθετον δείκνυται, οὔτε θαλάσσης βάθος· τὰ δὲ πεντεκαίδεκα
στάδια πρὸς πλεῖον ἢ μυριάδας ὀκτὼ σταδίων, οὐδένα
λόγον ἔχουσιν· ἀλλὰ ὅμοιόν ἐστι τοῦτο, ὥσπερ εἰ καὶ κονιορ-
τός τις ἐπὶ σφαίρας εἴη· αἱ γὰρ ἐξοχαὶ αἱ περὶ τὰ σφαιρί-
α τῶν πλατάνων οὐ κωλύουσιν αὐτὰ σφαιροειδῆ εἶναι· καὶ
αὗται πλείονα λόγον ἔχουσι πρὸς τὰ ὅλα τῶν σφαιριδίων μεγέ-
θη, ἢ καὶ αἱ κοιλότητες τῆς θαλάσσης καὶ αἱ τῶν ὀρῶν ὑπεροχ-
αὶ πρὸς τὸ πᾶν τῆς γῆς μέγεθος· οὐ γὰρ δὴ τὸ μέγεθος ἡ γῆ ἡλίκη
διὰ τῶν προειρημένων ἐφόδων ἀποδέδεικται, οὐ μικρὸν
πρὸς τὸ σύμπαν τοῦ κόσμου μέγεθος σημείου λόγον ἔ-
χουσα διὰ πολλῶν ἐλέγχεται, ἀλλὰ καὶ πρὸς ἡλιακὸν ὕψος·
οὐ κατὰ πολὺ μείζων ἐστὶν ἢ πλείω ἔχουσα τὰ ἀπλανῆ
ἄστρα σφαῖρα. ὥσπερ οὖν γῆς καὶ ὕδατος ἀμφορεῖς μυ-
ριάδες μυρίαι, καθ' αὐτὰς μὲν θεωρούμεναι ἀξιόλογον
ἔχουσι πλῆθος, πρὸς δὲ τὴν θάλατταν οὐδένα λόγον
ἔχουσιν· ἀλλ' οὐδὲ πρὸς τὸν Νεῖλον ἢ ἄλλον τινὰ τῶν ἀξιο-
λόγων ποταμῶν, οὕτω καὶ ἡ γῆ, καθ' αὑτὴν μὲν ἐξετα-
ζομένη ἀξιόλογον φαίνεται τὸ μέγεθος ἔχειν· πρὸς γε πλείω

[illegible]

τας ὀκτὼ μυριάδας, ἢ διαμέτρους ἔσται· οὕτω δὲ περὶ τὸν κύκλο-
κον ὕψος λόγον τινὰ φαίνεται ἔχουσα, οὕτω πολὺ πλέον περὶ τὸ
σύμπαν τοῦ κόσμου μέγεθος· λόγον γὰρ ὀφείλει ἔχειν μέ-
γεθος περὶ μέγεθος, ὅπου ἂν τὸ μεῖζον ὑπὸ τοῦ ἐλάττονος
οἷόν τε ᾖ καταμετρηθῆναι· ἢ δεκαπλάσιον φέρε εἰπεῖν
ἢ εἰ βούλει καὶ μυριοπλάσιον ὄν· ὁ δὲ τοῦ ὕδατος ἀμ-
φορεὺς, οὐκ ἂν καταμετρήσειε τὴν θάλασσαν· ἀλλ᾽ οὐδὲ
τὸν Νεῖλον· ὥσπερ οὖν ὁ ἀμφορεὺς οὐδένα λόγον ἔχει
πρὸς τὰ εἰρημένα, οὕτως οὐδὲ τὸ μέγεθος τῆς γῆς λόγον
τινὰ, πρὸς τὸ τοῦ κόσμου μέγεθος ἔχει· τοῦτο δὲ ἐκ πάνυ
πολλῶν ἔχομεν μονονουχὶ γραμμικὰς ἀποδείξεις· πρῶτον
μὲν γὰρ ὁ ἥλιος κατὰ πολὺ μείζων ὢν συμπάσης τῆς γῆς
καὶ θαλάττης, ὡς διὰ τῶν ἑξῆς ἀποδειχθήσεται, ὁ ἂν πο-
διαίου μὲν φαντασίαν ἀποτελεῖ· ἔπειτα λαμπρό-
τατοι ὥσπερ εἰσὶν οἱ ὄντως ἀπὸ τῶν ἡλιακοῦ ὕψους ὁρώμενοι
εἰς τὴν γῆν, ἢ τοιοῦτοι, ὅλως ἂν ἦσαν ὀφθείη, ἢ ἀστέρος τοῦ βρα-
χυτάτου μέγεθος ἔχουσα· ἡ δὲ γῆ ὅτι τὰ ὑψηλότερα τοῦ ἡλί-
ου μετεωρισθείη μὲν καθ᾽ ὑπόθεσιν, καὶ ὅτι αὐτὴ τὴν τῶν ἀ-
πλανῶν σφαῖραν, οὐδ᾽ ὅλως ἂν ἦν ὀφθείη ἡ γῆ· οὐδ᾽
εἰ τὴν ἴσην τῷ ἡλίῳ λαμπρότητα ἔχουσα ὅτι ἂν ὀφθείη· ὁ δὲ
ἑκάστου ἀστέρας ἑαυτῆς μείζονας εἶναι ἀναγκαῖον· ὅσοι
μὲν ἀπ᾽ αὐτῆς ὁρῶνται· ἀπὸ δὲ τοῦ ὕψους τῆς σφαίρας
τῶν ἀπλανῶν, οὐκ ἂν αὐτὴ ὀφθείη· κατὰ πολὺ τοῦ ἡλίου με-
γέθους ἐλάττων ὑπάρχουσα· ἐπεὶ τάχα ἂν αὐτὸς ὁ ἥλιος
ἐν τῷ ὕψει τῶν ἀπλανῶν ὅτι ἂν ὀφθείς, ἀστέριος τὸ μέγε-
θος φανήσεται· ἡμεῖς μὲν δὲ ἀπὸ τῆς κατὰ τὰ ἄστρα θεωρίας ὅτι ἡ
γῆ σημείου λόγον πρὸς τὸ μέγεθος τοῦ κόσμου· ἀπὸ παντὸς
μέρους αὐτῆς οὐ μόνον ἴσα ὁρᾶται, ἀλλὰ καὶ ὅμοια τὰ
σχήματα τῶν ζῳδίων· οὐδέποτε ἂν ζῳδίοις ἡμῖν αἱ ... ἐπι-
φάνειαι ἀπὸ παντὸς μέρους αὐτῆς περὶ πάντα τὰ
μέρη τοῦ ὁμοίου, ἴσαι ἂν ἀλλήλαις· ὅθεν κέντρου λόγον
ἐπέχειν αὐτὴν περὶ τὰ ὅλα ἀναγκαῖον· τοῦτο δὲ ἐστι ἀναγκαῖ-

δωδεκατημόρια, ζῴδια ἕξ· ποτὲ τὰ ἓξ αὐτῶν ὑπὲρ γῆς φαί-
νεται ἀκριβῶς, μηδὲ μίαν μοῖραν τοῦ κατὰ τὴν γῆν βά-
θους ἀποκρύπτοντος· ἀλλὰ μηδὲ τὸ λοιπὸν μέρος· ἀεὶ
γὰρ ἀκριβῶς αἱ ὀγδοήκοντα καὶ ἑκατὸν μοῖραι, ὑπὲρ γῆς
ἀείσκοντ· ἐπὶ τοῦ ἰσημερινοῦ δὲ, ἥμισυ μέρος, ἀεὶ ὑπὲρ
γῆς ἐστίν· ὥστε τὸ γνώριμον κ τῶν ἰσημερινῶν· οὐδὲ
ἀκρίβειαν τῆς ἡμέρας ὑπὸ τῆς νυκτὸς πλεονεκτουμένης·
ὅπερ οὐκ ἂν συνέβαινεν, εἰ τὸ βάθος τῆς γῆς ἀπελαμβά-
νετό τι τοῦ ἰσημερινοῦ κύκλου· καὶ λόγον τινὰ πρὸς αὐτὸν
εἶχον αἱ ὀκτὼ μυριάδες τοῦ βάθους τῆς γῆς· ὁρᾶται δὲ
καὶ τοιοῦτόν τι ἐν τοῖς φαινομένοις· δύο οὖν ἀστέρες
καὶ τὴν χροιὰν καὶ τὸ μέγεθος παραπλήσιοι· διαμετροῦν-
τες ἀλλήλοις· ὁ μὲν τὰ τοῦ σκορπίου· ὁ δὲ, τοῦ ταύρου· πάντῃ
καὶ δὴ κατὰ τὴν ἐπέχει μοῖραν ἕκαστος τῶν ζῳδίων· οὗτοι
τῷ ἀεὶ τῆς ἑσπέρας ὅμοιοι εἰσὶν οἱ ἀστέρες· ἐπ' ἀκριβὲς ταυ-
τὸν ἐπὶ τοῦ ὁρίζοντος θεωροῦνται· ὁ μὲν, ἀνίσχων· ὁ δὲ,
καταδυόμενος· ὅπερ οὐκ ἂν συνέβαινεν, εἰ μέρος τι τοῦ
ζῳδιακοῦ τὸ βάθος τῆς γῆς ἐπιπροσθεῖν οἷόν τ' ἦν·
κατὰ ταὐτὸν γὰρ τοῦ μὲν, ἀνατέλλοντος· τοῦ δὲ, καταδύ-
νοντος, προσελάμβανεν ἂν ἢ τοῦ ἀνατέλλοντος δύσις, τὴν
τοῦ καταδύοντος ἀνατολὴν παντὶ τῷ χρόνῳ· ᾧ τὸ ἐπι-
προσθούμενον ὑπὸ τοῦ βάθους τῆς γῆς μέρος τοῦ οὐρανοῦ·
ἀναγκαῖον αὐτῷ τῷ ἀνελθόντι, ἐπὶ τοῦ ὁρίζοντος ὀφθῆναι·
οὐχ ἥκιστα δὲ καὶ ἀπὸ τῶν ὡρολογίων ἐλέγχεται ἡ γῆ
κέντρου λόγον ἐπέχουσα, πρὸς τὴν ἡλιακὴν σφαῖραν· συμ-
περιέρχεται μὲν γὰρ ἡ σκιὰ τῆς γῆς τῷ ἡλίῳ· ὡς καὶ ὁ με-
ν ἐναργῶς δηλοῖ, λέγων οὕτως· ἐν δ' ἔπεσ' ὠκεανῷ λαμ-
πρὸν φάος ἠελίοιο, ἕλκον νύκτα μέλαιναν, ἐπὶ
ζείδωρον ἄρουραν· διαμετροῦσα δὲ ἀεὶ τὸν ἥλιον, κω-
νοειδὴς ὑπάρχουσα, αὐτὸ τὸ ἄκρον τῆς σκιᾶς, τὸ κέντρον
τοῦ ἡλίου κατὰ διάμετρον ἔχει ἀναγκαίως· καταγραφέν-
τοίνυν τὰ συμβαίνοντα ἐπὶ τῆς γῆς ὑπὸ τ[illegible]

ὥστε γνωμόνων σκιὰς σημειούμενος ἐν παντὶ μέρει τῆς γῆς, καὶ δὴ πάν-
τα ἄκρα τῶν γνωμόνων, κέντρου λόγον ἐπέχειν πρὸς τὴν ἡλιακὴν
σφαῖραν. ὅτι γοῦν μηδέν ἐστιν ὡρολόγιον δυνάμενον
καταγράψασθαι ἐν αὐτῷ τῷ μεσημβρινῷ τῷ αὐτῷ, ἀλλὰ καὶ παντὶ
μέρει αὐτῆς δυνατὸν ὡρολόγιον καταγράψασθαι, φανερὸν
ὡς πᾶσα ἡ γῆ κέντρου λόγον ἔχει πρὸς τὸ ἡλιακὸν ὕψος, καὶ τὴν
ἀπὸ τούτου νοουμένην σφαῖραν. φανερὸν γὰρ ὅτι μὴ δυνατὸν
μιᾶς σφαίρας πολλὰ κέντρα εἶναι. τοῦτον οὖν τὸν λόγον ἐχούσης
οἱ πάντων τῶν δυναμένων τῆς γῆς καταγράψασθαι ὡρολο-
γίων γνώμονες οὐ ἂν εἰς ἓν σημεῖον συναχθέντες σχοῖεν.
ὅτι οὖν μηδὲν μέρος ἐστὶ τῆς γῆς ἐν ᾧ οὐ καὶ ἂν ἐγχωροίη ὡρο-
λόγιον ἱδρυνθῆναι, ὅλη ἡ γῆ λόγον κέντρου ἐπέχει πρὸς τὸ
ἀπορ ἡλιακὸν ὕψος καὶ τὴν ἀπὸ τούτου νοουμένην σφαῖραν. οὐ μὴν δὲ
ἀπορεῖν ἐνταῦθα πῶς ἡ γῆ στιγμιαία οὖσα πρὸς τὸ μέγεθος τοῦ
κόσμου, ἀναπέμπει τροφὴν τῷ τε οὐρανῷ καὶ τοῖς ἐμπερι-
εχομένοις αὐτῷ ἄστροις, τοσούτοις καὶ τὸ πλῆθος καὶ τὸ μέ-
γεθος οὖσι. τῷ μὲν γὰρ ὄγκῳ βραχεῖα ἐστὶν ἡ γῆ. τῇ δὲ δυνά-
μει μεγίστη. σχεδὸν αὐτὴ τὸ πλεῖστον τῆς οὐσίας ἐπέχει.
λόγου οὖν ὅτι νοήσαιμεν αὐτὴν εἰς καπνὸν ἢ εἰς ἀέρα πᾶ-
σαν ἀναλυομένην, κατὰ πολὺ ἂν μείζων γένοιτο τῆς τοῦ
κόσμου περιοχῆς. καὶ οὐ μόνον γε εἰς καπνὸν, ἢ ἀὴρ ἢ πῦρ
γένοιτο, πολλῷ πλείων ἂν τοῦ κόσμου γένοιτο, ἀλλὰ καὶ
εἰς κονιορτὸν ἀναλυθεῖσα. πάρεστι γοῦν ὁρᾶν ὅτι καὶ τὰ
εἰς καπνὸν ἀναλυόμενα τῶν ξύλων σχεδὸν ἄπειρον
χεῖται. καὶ ὁ ἐκθυμιώμενος λίβανος, καὶ ὅσα
ὑγρὰ τῶν στερεῶν σωμάτων εἰς ἀτμὸν ἀναλύεται. ἐπεὶ
τὸν οὐρανὸν δι' αἰῶνος τρέφει καὶ τοῖς ἄστροις ἐπινοητέον
σῴζεσθαι εἰς τὸ τῆς γῆς συνηγμένα, εἰς ἑαυτὴν ὄγκον
αὐτῆς οὐ στερεῖν δεῖ. ὡς ἐκ τῶν μὲν ὄγκῳ ἡ γῆ στιγμιαία ὡς
πρὸς τὸν κόσμον οὖσα. ἀφάτῳ δὲ τῇ δυνάμει κεχρημένη
καὶ σχεδὸν ἄπειρον φύσιν ἔχουσα ἐξαρκεῖσθαι, οὐκ ἔστιν
ἀδύνατον τὴν πᾶσαν ἐπιτροφὴν τοῖς ὅλοις ὁμοίως· οὐδ' ἂν ἐξαναλω-

θεῖν τούτου ἕνεκα ἐν μέρει καὶ αὐτή τινα ἀπολαμβάνουσα·
εἰ τὸ ὄρος καὶ ὀξέως οὐ· ὁ δ' εἰς γὰρ ἀστὴρ ὥσπερ φησὶν ὁ Ἡρά-
κλειτος, διὸ ὅλως οἱ ἀστέρες πᾶσαι, καὶ μεταβάλλει ἐπιφύκη, εἰ
εἰς πάντα τὰ δηλ[illegible] ὑπήκοος, εἰς τὴν τῶν ὅλων διοίκησιν
καὶ διαμονήν· πρὸς μὲν οὖν τὸ ἡλιακὸν ὕψος, σημείου
λόγον ἐπέχει ἡ γῆ· πρὸς δὲ τὴν σεληνιακὴν σφαῖραν· ὅτι
μὲν σημείου λόγον ἔχει κατασκευάζοντές τινες, τοιούτοις
χρῶνται ἐπιχειρήμασιν· οὐ φαίνεται φασὶ τὰ διαστήματα
αὐτῆς τὰ περὶ τὰ ἄστρα· ἴσα γὰρ πανταχόθεν ἐλάσσονα, ἀλλ' ἐκ τοῦ αὐ-
τοῦ ὥρα, παρ' οἷς μὲν μείζονα, παρ' οἷς δὲ ἐλάττονα· ὅπερ οὐκ
ἂν συνέβαινεν, εἰ αἰσθητὸν πρὸς τὸ πλῆθος ἀπὸ τῆς γῆς ἀθροίσαι,
περὶ τὸ σεληνιακὸν ὕψος, ἴσον ὑπάρχον· ἴσα γὰρ ἂν
τὰ διαστήματα ἐφαίνετο· τί θεῖν δὲ καὶ τὴν τοῦ ἡλίου ἔκλει-
ψιν τούτου σημεῖον· οὐ γὰρ ἅπασιν [illegible] ἐπ' ἴσης ἐκλείπει
αὐτοῦ ἀλλὰ πολλάκις, παρ' οἷς μὲν ὅλου· παρ' οἷς δέ, ἀπὸ μέρους
παρ' οἷς δ' οὐδ' ὅλως· οὐ δὲ τούτου ἂν συμβαίνοντος, εἰ σημείου λόγον
ἐπεῖχε πρὸς τὸ ὕψος αὐτῆς ἡ γῆ· ἀλλὰ μὴ ἀξιόλογον εἶχε τὸ διά-
στημα· καὶ οὕτως οἷς μὲν, πᾶσιν οἷς δ' ἀπὸ μέρους· οἷς δ' οὐδ' ὅλ-
ως σκοτεινὴ ἡ σελήνη· ἐπεὶ οἱ δὲ λέγοντες μὴ ἐπέχειν σημείου
λόγον τὴν γῆν, πρὸς τὸν ὅλον οὐρανὸν δηλαδή, τοιούτοις χρῶνται
ἐπιχειρήμασι· φασὶ γὰρ ὅτι ἡ ὄψις, εἰς ὕψος ὀξεῖα ῥοπή,
ταύτοις [illegible] μὴ θεωρούμενα, ἀλλ' ὑπὸ τὸν ὁρί-
ζοντα κεκρυμμένα, θεωρεῖ ὁ [illegible] μᾶλλον· ὡς τὸ
οὐκ ἀπὸ παντὸς μέρους ἴσως τῆς γῆς διαιρεῖ ὁ ὁρίζων·
ὃ δοκεῖ τεκμήριον εἶναι, τοῦ σημείου λόγον τὴν γῆν μὴ
ἐπέχειν· ῥητέον οὖν πρὸς τοῦτο· ὅτι τὸ σχῆμα τῆς γῆς
σφαιροειδὲς ὂν τούτου αἴτιον γίνεται· ὥσπερ καὶ εἰ σταδιαῖον
τὸ μέγεθος ἦν ἡ γῆ· μὴ σημείου μὲν λόγον σφαιροειδὴς οὖσα,
τὸ ὅμοιον ἂν συνέβαινε καὶ οὐδὲν ἧττον χώρα ἂν ἦν·
διότι μὴ δὲ ἡ οὕτω σταδιαία οὖσα χώρα βραχεῖα, σημείου
λόγον ἐπέχει πρὸς τὸν κόσμον· τὸ σχῆμα οὖν, τούτου αἴτιον
ἡγητέον· καὶ εἴ τις ἀπὸ παντὸς σημείου τῆς γῆς ἐπιπε-

[illegible]

ὅτι εἰ ἐφαίνετο [illegible] ὁρ[illegible] μὴ θεωρούμενα [illegible] οὐκ ἀπὸ παντὸς [illegible] τοῦ ὁρίζοντος [illegible]

ὁ φασὶν ὅτι ἡ ὄψις [illegible] μὴ θεωρούμενα [illegible] οὐκ ἀπὸ παντὸς μέρους τῆς γῆς [illegible] τὸν ὁρίζοντα [illegible] λόγον [illegible]

λήθειαν ἐκβάλλοι τὴν ἐπίνοιαν, οὐ κἂν πολὺ καὶ ἔλαττον
τοῦ κόσμου ὑπὸ γῆς ὀφθείη· ἀλλὰ τὸ ἴσον ἀπὸ ὕψους, ἐ
ἀπὸ τῶν χθαμαλῶν· τὰ μέντοι μετέωρα τῶν ἄστρων ἴσα φαίνεται
καὶ ἀπὸ ὕψους καὶ ἀπὸ θαλάττης, τάχα δ' ἄν τις κἀκεῖνο φή-
σειεν ἐνταῦθα ὅτι ἐκ τῶν πεδίων καὶ τῆς θαλάττης ἡ μὲν
ἐθεωρεῖτο τὸ ἡμικόσμιον ὑπὸ γῆς, ἀπὸ δὲ μετεώρων τῶν ὑψηλο-
τάχα ἂν ἢ μετ' ἐκεῖνο ὁ λόγος οὗτος ὑπὲρ αὐτοῦ λεγόμενος· ἀπὸ γὰρ τῶν
ὑψηλοτάτων εἰς δύο ἴσα διαιρουμένου τοῦ κόσμου, ἐκ δὲ τῶν
χθαμαλῶν οὐκέτι· ἀλλὰ μείονος τοῦ ὑπὸ γῆς φαινομένου,
νῦν δὲ οὐδὲν περὶ λόγον ἐστίν, εἰ ὑψουμένης τῆς ὄψεως
ἐπὶ πλεῖον ὑπὸ γῆς θεωρεῖν σφαιροειδοῦς τῆς γῆς σχήματος
τούτου γινομένου ἀναγκαῖον· πλεῖον ὑπὲρ γῆν ἀεὶ
εἰ γὰρ δὴ τὸ μέγεθος αὐτῆς περὶ τὰ ὅλα σφαιρικῇ ἀεί, οὐκ
ἂν πολὺ τοῦ κόσμου ἢ τὸ ἥμισυ ἐξαιρουμένης τῆς ὄψεως,
ὁρᾶσθαι δυνατόν· ἀλλ' εἰ μὲν ἐκ τῶν μετεώρων τὸ ἴσον
αὐτοῦ ὑπὸ γῆς ὁρᾶται· τῶν μὲν ἐκ τῶν χθαμαλῶν ὀλίγον,
ἐκ τῶν πεδίων ὄντων· τῶν δὲ ἐξ ὕψους ὁρώντων, κοινοὶ δι' ὧν
καὶ ὄντων καὶ καλουμένων· φασὶ δὲ πρὸς τοῖς εἰρημένοις
διότι μὲν δ' ἂν τὰ μὲν κατέψυκται, τὰ δὲ διακέκαυται· τὰ
δὲ ἄκρατα μεθ' ἡ τῆς γῆς ὑπάρχει, εἰ μὴ ἀξιόλογα εἶχε
τὰ διαστήματα πρὸς τὴν ὅλην ἐκείνην σφαῖραν· ἀλλ' οὐδ'
ἂν ἐλέγετο, ὥσπερ οὖν αὐτὴ μένει πάλιν ἀποχωροῦν ὅλη,
στιγμαία ... τῆς γῆς: ῥητέον τοίνυν καὶ πρὸς ταῦτα,
ὅτι καὶ τούτων πάντων, τὸ σχῆμα τῆς γῆς αἴτιόν ἐστι· παρὰ
γὰρ τὸ πῶς ἀποπίπτειν τὰς ἡλιακὰς ἀκτῖνας ἐπὶ
τῆς γῆς κλίματα, διακεκαυμένα καὶ κατεψυγμένα
καὶ εὔκρατα γινόμενά ἐστι· τούτου καὶ οὗτοι ...
καὶ πρὸς ὀλίγον ἀπ' ἀλλήλων διεστῶσι θεωρουμένου τι-
να γινώσκων παρὰ τὸν ἥλιον καυσώδη εἶναι τῆς παρακειμένης
ἀχαΐας. οὐκέτι τὸ πνῖγος δυσχείμων· ὥστε ἡ βραχεῖ
... τὸ παράπαν ... ὅμοια
πάντα τὰ κλίματα αὐτῆς τῶν ἀκτίνων κατὰ τὸ μέτρον·



ὑψηλότατα ὁρῶν, ἔτι πλείονα ἀφεστὼς φαίνεται· ὅπου μὲν ἔτι ἐγγίων φαίνεται, καὶ σμικρότατος· ὅπου δὲ πλεῖον ἡ μὲν τὸ ἀπ' αὐτοῦ διάστημα φαντάζει, καὶ αὐτὸς μείζων εἶναι δοκεῖ· τῆς περὶ τὸν ἀέρα ποιότητος, πάντα ταῦτα τοιοῦτ' αἴτια γινομένης· διὰ μὲν τὸ ἔνοπτρον καὶ παχύτερον τὸν ἀέρος ὁ ἐφ[illegible]μενος, μείζων ἡμῖν καὶ πλείονα ἀφεστὼς φαίνεται· διὰ δὲ τὸ καθαροῦ ἐλάττων τὸ μέγεθος καὶ ἐγγίων κατὰ τὸ διάστημα· ὥσπερ [illegible] φησὶν ὁ Ποσειδώνιος, διὰ [illegible] ὕδατος [illegible] ὁρᾶν [illegible] βάλλεται, κατὰ πολὺ μείζων αὐτῆς ἡμῖν φαντάζεται ὁ ἥλιος διὰ τοῦτο ὁρώμενος· καὶ πολὺ μεῖζον διάστημα ἀφεστώς· μείζονος δὲ καὶ ἐλάττονος φαινομένου ἡμῖν αὐτοῦ, ὁ ἐν μέσῳ τῶν κατ' αὐτὸν διαστημάτων μεγέθει καὶ μείων, ὁ κατ' ἀλήθειαν [illegible] αὐτοῦ [illegible], ἀπὸ τῶν [illegible] ἀπομονουμένων ἀκτίνων τῆς ὄψεως, μετέωρος ἐστὶν ἅμα καὶ [illegible]ομένου δὲ καὶ τοῦ μεγέθους αὐτοῦ καὶ τοῦ διαστήματος κατὰ φαντασίαν εἰς ἔλαττον, δεῖν ἄρα μεγέθη δύο κατ' αὐτὸν νοεῖν· ἓν μὲν τὸ κατ' ἀλήθειαν αὐτῷ ὑπάρχον, ἕτερον δὲ τὸ κατὰ φαντασίαν· ὧν κορυφὴ μὲν ἐστὶν ἡ μία τὸ πρὸς τῇ κόρῃ τῆς ὄψεως· βάσις δὲ, ἡ μὲν κατ' ἀλήθειαν· ἡ δὲ, κατὰ φαντασίαν· ὡς οὖν ἔχει ἡ κατ' ἀλήθειαν ἀπόστασις πρὸς τὴν φαινομένην, οὕτως ἔχει καὶ τὸ κατ' ἀλήθειαν μέγεθος πρὸς τὸ φανταζόμενον ἡμῖν· αἱ δὲ βάσεις τῶν κώνων ἴσαι ταῖς διαμέτροις εἰσίν· ἡ μὲν, τῇ κατ' ἀλήθειαν, ἡ δὲ, τῇ κατὰ φαντασίαν· ὡς οὖν ἔχει τὸ κατ' ἀλήθειαν διάστημα πρὸς τὸ κατὰ φαντασίαν· οὕτως ἔχει καὶ τὸ κατ' ἀλήθειαν μέγεθος, πρὸς τὸ κατὰ φανταζόμενον· τὸ δὲ κατ' ἀλήθειαν διάστημα τοῦ κατὰ φαντασίαν, σχεδὸν ἀπειροπλάσιόν ἐστι· σημείου λόγον ἐχούσης τῆς γῆς, πρὸς τὸ ἡλιακὸν ὕψος· καὶ τὴν ἀπ' αὐτοῦ νοουμένην σφαῖραν· καὶ τὸ κατ' ἀλήθειαν ἄρα μέγεθος τοῦ κατὰ φαντασίαν μεγέθους ἀπειροπλάσιον εἶναι ἀναγκαῖόν ἐστιν· οὐκ ἄρα τηλικοῦτός ἐστιν ὁ ἥλιος, ἡλίκος φαίνεται.



[illegible]

[illegible]

καὶ ἔμελλ' εἰ τηλικοῦτος ἐστὶν ἡλίκος φαίνεται
ἀλλ' ὅτι ἐπινοήσομεν αὐτὸν διπλάσιον γενόμενον εἰς δύο δι
αιρούμενον, ἑκάτερον αὐτοῦ τῶν μερῶν ποδιαῖον φανεῖσθαι· ὥστ'
εἰ καὶ ἐπὶ τοσοῦτον ἐπινοήσαιμεν αὐξανόμενον αὐτὸν ὥστ' ἐπὶ
μυριάδων καὶ τοσούτων διαστημάτων ἐκτείνεσθαι, ἕκαστον
αὐτοῦ τῶν ποδιαίων μερῶν, ἡλίκον ἐστὶ φανήσεται· ἀφ' οὗ τοῦτο,
ἀκόλουθον ἂν εἴη, καὶ αὐτὸν ἡλίκον ἐστὶ φαίνεσθαι· τοῦ
